


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
100 ΒΕΡΟΙΑΣ
'Αριθ. εἰσ. 695 / 1956
Δωρεά: ~~Ὑπουργείου Πολ)σμοῦ καὶ Ἐπιστημῶν~~
ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ & ΕΠΙΣΤΗΜΩΝ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Διβ. ΦΛΒ. 107
GRVER-00199
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΙΣΑΓΩΓΗ
ΕΙΣ ΤΗΝ
# ΦΙΛΟΣΟΦΙΑΝ
## Γ. Ι. Σ' ΓΡΑΒΕΖΑΝΔΟΥ.

ΠΕΡΙΕΧΟΥΣΑ

ΤΗΝ ΜΕΤΑΦΥΣΙΚΗΝ

καὶ ΤΗΝ ΛΟΓΙΚΗΝ

ἐξελληνισθεῖσα μὲν ἐκ τῆς Λατινίδος φωνῆς ὑπὸ τοῦ

ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ.

ΚΥΡΙΟΥ

ΕΥΓΕΝΙΟΥ τοῦ ΒΟΥΛΓΑΡΕΩΣ

Ἱεροδιακόνου ἔτι ὄντος καὶ σχολαρχοῦντος ἔντε Ἰωαννίνοις, καὶ ἐν τῇ Ἀθωνιάδι Ἀκαδημίᾳ καὶ ἐν Κωνσταντινουπόλει, πρὸς ἀκρόασιν τῶν παρ' αὐτῷ μαθητιόντων.

Τὰ νῦν δὲ τύποις ἐκδοθεῖσα ὑπὸ τῆς Αὐταδελφότητος τῶν ΖΩΣΙΜΑΔΩΝ

Α. καὶ Ν. καὶ Ζ. καὶ Μ.

ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τοῖς φιλεπιστήμοσιν Ἑλλήνων Νεανίσκοις.

Ἐπιστασίᾳ Σ. Δ.

Ἐν ΜΟΣΧΑ.

Ἐν τῷ τῆς Κοινότητος Τυπογραφείῳ, παρὰ Λίβμπη, Γαρίῳ καὶ Ποπόβ.

ᾳωε 1805.

Βιβλιοθήκη Βέροιας

Αρ. Εισ. 695

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΙΝΑΞ ΤΟΥ ΕΝ ΧΕΡΣΙ ΣΥΓΓΡΑΜΜΑΤΟΣ.

τῆς ΕΙΣΑΓΩΓΗΣ εἰς τὴν ΦΙΛΟΣΟΦΙΑΝ.

---

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ ΠΕΡΙΕΧΟΝ ΤΗΝ ΜΕΤΑΦΥΣΙΚΗΝ

### ΜΕΡΟΣ Α ΠΕΡΙ ΤΟΥ ΟΝΤΟΣ.

Σελ.

ΚΕΦ. Α. Περὶ τȣ῀ Ὄντος ἐν γένει, καὶ τίνες αἱ τῶν Πραγμάτων Οὐσίαι. - 2.
ΚΕΦ. Β. Περὶ Οὐσιῶν καὶ Τρόπων. - 6.
ΚΕΦ. Γ. Περὶ Σχέσεων, ἔνθα καὶ περὶ τȣ῀ μὴ Ὄντος καὶ τȣ῀ Μηδενός. - - 9.
ΚΕΦ. Δ. Περὶ τȣ῀ Δυνατȣ῀, καὶ τȣ῀ Ἀδυνάτȣ. 12.
ΚΕΦ. Ε. Περὶ τȣ῀ Ἀναγκαίȣ, καὶ τȣ῀ Ἐνδεχομένȣ. - - 15.
ΚΕΦ. Ϛ. Περὶ τῆς τῶν Ὄντων Διαμονῆς, καὶ περὶ τȣ῀ Χρόνȣ. - - - - 17.
ΚΕΦ. Ζ. Περὶ Ταυτότητος. - - 20.
ΚΕΦ. Η. Περὶ Αἰτίας καὶ Αἰτιατȣ῀. - 26.

---

## ΤΟΥ ΒΙΒΛΙΟΥ ΠΡΩΤΟΥ ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ.

### ΜΕΡΟΣ Β ΠΕΡΙ ΤΗΣ ΑΝΘΡΩΠΟΥ ΨΥΧΗΣ.

ΚΕΦ. Θ. Περὶ νοήσεως ἐν γένει. - - 34.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.
ΚΕΦ. Ι. Περὶ Ἐλευθερίας. - - 38.
ΚΕΦ. ΙΑ. Περὶ Εἱμαρμένης. - - 44.
ΚΕΦ. ΙΒ. Ἐπίκρισις διαφόρων δοξασμάτων περὶ τῆς Ἐλευθερίας. - - - 50.
ΚΕΦ. ΙΓ. Περὶ τῦ Ἀΰλϐ τῆς ψυχῆς. 59.
ΚΕΦ. ΙΔ. Ὅτι ἡ ψυχὴ ἐκ ἔςιν αὐτὴ ἡ Νόησις. - - - - - 61.
ΚΕΦ. ΙΕ. Ἐπίκρισις τῦ ζητήματος, εἴπερ ἡ Ψυχὴ ἀδιαλείπτως νοεῖ. - - 63.
ΚΕΦ. Ιϛ. Περὶ τῦ Συνδέσμϐ τῆς ψυχῆς μετὰ τῦ Σώματος, ϗ τῶν ἐκ τέτϐ ἑφεπομένων. - - - - - - 67.
ΚΕΦ. ΙΖ. Περὶ τῦ Τρόπϐ καθ᾽ ὃν τῷ Σώματι ἡ ψυχὴ συνέζευκται. - - 70.
ΚΕΦ. ΙΗ. Παράθεσις τῶν διαφόρων δοξασιῶν, τῶν περὶ τῦ μεταξὺ ψυχῆς τε ϗ Σώματος Συνδέσμϐ. - - - - 77.
ΚΕΦ. ΙΘ. Περὶ Ἀρχῆς τῶν Ἰδεῶν.- - 85.

## ΤΗΣ ΕΙΣ ΤΗΝ ΦΙΛΟΣΟΦΙΑΝ ΕΙΣΑΓΩΓΗΣ.

### ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ ΠΕΡΙΕΧΟΝ ΤΗΝ ΛΟΓΙΚΗΝ.

### ΜΕΡΟΣ Α ΠΕΡΙ ΙΔΕΩΝ ϗ ΠΕΡΙ ΚΡΙΣΕΩΝ.

ΚΕΦ. Α. Περὶ τῆς των ἰδεῶν Διαιρέσεως. 95.
ΚΕΦ. Β. Περὶ Ἰδεῶν ἁπλῶν τε καὶ συνθέτων. - - - - - - 97.
ΚΕΦ. Γ. Περὶ Ἰδεῶν Ἐναργῶντε ϗ Ἀσαφῶν, Ἀνελλειπῶν τε καὶ Ἐλλειπῶν, Ευκρινῶν τε καὶ Συγκεχυμένων. - 100.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

ΚΕΦ. Δ. Περὶ Ἰδεῶν Ἀφῃρημένων ᾗ Συγκεκριμένων. Ἔνθα καὶ περὶ Ἰδεῶν καθόλε τε καὶ Μερικῶν, καὶ τῶν καθ' Ἕκαςα. - - - - - 102.

ΚΕΦ. Ε. Περὶ Ἰδεῶν Ἀπολύτων ᾗ Σχετικῶν. - - - - - 108.

ΚΕΦ. ϛ. Περὶ τῶν Ἰδεῶν αἷς προσλαμβάνομεν ἀντιλαμβανόμενοι τῶν ἐν τῇ ψυχῇ συμβαινόντων. - - - 110.

ΚΕΦ. Ζ. Ἐν γένει τινὰ περὶ Κρίσεων. 114.

ΚΕΦ. Η. Περὶ Προτάσεων Καθόλε τε καὶ Μερικῶν. - - - - 116.

ΚΕΦ. Θ. Περὶ Προτάσεων Ἁπλῶν· ἔνθα ᾗ περὶ συμπεπλεγμένων καὶ παρεμβεβλημένων. - - - - 119.

ΚΕΦ. Κ. Περὶ Προτάσεων Συνθέτων. - 123.

ΚΕΦ. ΙΑ. Περὶ Ἀληθείας καὶ Ψεύδες 124.

ΚΕΦ. ΙΒ. Περὶ Ἐναργείας. - - 126.

ΚΕΦ. ΙΓ. Περὶ Ἀληθείας τῆς τῶν ἰδεῶν, ἃς ἀμέσως πορίζόμεθα· ἔνθα καὶ περὶ Ἐναργείας Ἠθικῆς. - - - 132.

ΚΕΦ. ΙΔ. Περὶ τῶν Αἰσθήσεων, τε πρώτε δηλ. τῆς Ἠθικῆς Ἐναργείας Θεμελίε. 138.

ΚΕΦ. ΙΕ. Περὶ τε δευτέρε Θεμελίε τῆς Ἠθικῆς Ἐναργείας· τετέςι, τῆς παρὰ τῶν ἄλλων Μαρτυρίας. - - 151.

ΚΕΦ. Ιϛ. Περὶ τε τρίτε Θεμελίε τῆς Ἠθικῆς Ἐναργείας. τετέςι περὶ τῆς Ἀναλογίας. - - - - 158.

ΚΕΦ. ΙΖ. Περὶ τε Πιθανε. - - 162.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.
ΚΕΦ. ΙΗ. Περὶ τȢ Πιθανȣ̃ τȣ̃ ἐν Συνθέσει. - - . - 173.
ΚΕΦ. ΙΘ. Περὶ τῶν Ἐνςατικῶν Ἀντιθέσεων, ϗ τῶν Ἀντικειμένων Πιθανοτήτων. - - - - - 184.
ΚΕΦ. Κ. Περὶ Κρίσεως Συνθέτȣ· ἤτοι περὶ Συλλογισμȣ̃. - - - - - 192.

## ΤΟΥ ΒΙΒΛΙΟΥ ΔΕΥΤΕΡΟΥ ΤΗΣ ΛΟΓΙΚΗΣ.

## ΜΕΡΟΣ Β. ΠΕΡΙ ΠΟΙΗΤΙΚΩΝ ΤΗΣ ΑΠΑΤΗΣ.

ΚΕΦ. ΚΑ. Περὶ τῶν Αἰτίων τῆς Ἀπάτης ἐν γένει. - - - - 203.
ΚΕΦ. ΚΒ. Περὶ τῆς ἀπάτης τῆς ἐξ Αὐθεντίας τȣ̃ λέγοντος. - - - 206.
ΚΕΦ. ΚΓ. Περὶ Εἰδῶν Ἀπάτης τῆς ἐκ τῶν ἐπικλίσεων καὶ τῶν παθῶν τῆς ψυχῆς. - - . - 212.
ΚΕΦ ΚΔ. Περὶ Ἀπάτης τῆς ἐξ Ἀλαζονείας καὶ Τύφȣ. - - 215.
ΚΕΦ. ΚΕ. Περὶ Ἀπάτης τῆς ἐξ Ὀκνηρίας καὶ Ῥαθυμίας. - - - - 218.
ΚΕΦ. Κϛ. Περὶ Ἀπάτης τῆς ἐκ Συγχύσεως τῶν Ἰδεῶν. - - 220.
ΚΕΦ. ΚΖ. Περὶ Ἀπάτης, ἐφ' οἷς ἐπάναγκες ἐκ πλειόνων μίαν ἀνθελέσθαι δόξαν. - . - - 227.
ΚΕΦ. ΚΗ. Περὶ Σοφισμάτων. - 228.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

## ΤΟΥ ΤΗΣ ΛΟΓΙΚΗΣ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ.

### ΜΕΡΟΣ Γ. ΠΕΡΙ ΜΕΘΟΔΟΥ.


ΚΕΦ. ΚΘ. Περὶ Διαφόρων Μεθόδων. - 234.

ΚΕΦ. Λ. Περὶ Προκοπῆς τῆς τȣ̃ νοεῖν Δυνάμεως. - - - - 236.

ΚΕΦ. ΛΑ. Περὶ Ἐπαυξήσεως τȣ̃ Προσεκτικȣ̃. - - - - 242.

ΚΕΦ. ΛΒ. Περὶ τῆς Μνήμης. - - 246.

ΚΕΦ. ΛΓ Περὶ Μεθόδȣ Ἀναλυτικῆς. 251.

Κανονες Ἀναλυτικοὶ. 252.

Κανὼν Α, Β, Γ, Δ, Ε, Ϛ. -

ΚΕΦ. ΛΕ. Περὶ Χρήσεως τῶν Ὑποθέσεων. - - - - 263.

Κανὼν Α, Β, Γ, Δ, Ε, Ϛ. - 264.

ΚΕΦ. ΛΕ. Περὶ τῆς τῶν Ἀδήλων Γραμματικῶν Χαρακτήρων Διασαφήσεως. 270.

ΚΕΦ. ΛϚ. Περὶ Μεθόδȣ Συνθετικῆς. 282.

Κανόνες Συνθετικοὶ.

Κανὼν Α, Β, Γ, Δ, Ε, Ϛ, Ζ, Η, Θ, Ι. 283.

ΚΕΦ. ΛΖ. Περὶ Μεθόδȣ τῆς τȣ̃ Μανθάνειν. - - - - 294.

Κανὼν Α, Β, Γ, Δ, Ε. - - 296.


---

## ΠΑΡΑΡΤΗΜΑ ΠΕΡΙ ΤΗΣ ΤΕΧΝΗΣ ΤΟΥ ΣΥΛΛΟΓΙΖΕΣΘΑΙ.


ΚΕΦ. Α. Γενικά τινα περὶ Συλλογισμȣ̃ καὶ τῶν ἐν αὐτῷ Προτασεώντε καὶ Ὅρων. - - - 300.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.
ΚΕΦ. Β. Περὶ τῶν Κανόνων τῶν Συλλογισμῶν. - - - - 303.
ΚΕΦ. Γ. Περὶ Συλλογιστικῶν Τρόπων τε καὶ Σχημάτων. - - - 307.
ΚΕΦ. Δ. Περὶ τοῦ Α. Σχήματος. - 310.
ΚΕΦ. Ε. Περὶ τοῦ Β. Σχήματος. - 312.
ΚΕΦ. Ϛ. Περὶ τοῦ Γ. Σχήματος. - 314.
ΚΕΦ. Ζ. Περὶ τῆς τῶν Σχημάτων παραθέσεως καὶ τῆς ἀναγωγῆς τῶν ἐπιχειρημάτων ἐπὶ τὰ σχήματα. - 315.
ΚΕΦ. Η. Περὶ Συλλογισμῶν Ὑποθετικῶν τε καὶ Διαζευκτικῶν. - - 320.
ΚΕΦ. Θ. Περὶ τῶν λοιπῶν ἀτελῶν Συλλογισμῶν. - - - 323.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

698

# ΕἸΣΑΓΩΓῊ ΕἸΣ ΤῊΝ ΦΙΛΟΣΟΦΊΑΝ.

## ΒΙΒΛΙΟΝ Α΄.

### ΠΕΡΙΕΧΟΝ ΤΗΝ ΜΕΤΑΦΥΣΙΚΗΝ.

### ΜΈΡΟΣ Α.

### Περὶ τοῦ Ὄντος.

Ἡ μὲν πρόθεσις, ὅσον νύξιν τινὰ ἐκείνοις παραχεῖν, ἅττα ἐπιμελέστερον ἐπεξεργασθέντα, τὰ μὲν ἀναγκαῖα ἐστὶ, τὰ δὲ χρειώδη, ὥστε τὴν ψυχὴν ἰθῦναι τοῦ ἐπὶ τὴν γνῶσιν τῶν ὄντων, καὶ τὴν κατάληψιν τοῦ ἀληθοῦς ἑαυτὸν ἐπιστρέφοντος.

Πρὸ πάντων οὖν ἐπιστῆσαι δέον ὅτι προσλήψει τινὶ, ἡ τῶν ὄντων ἡμῖν περιγίνεται ἔννοια· τῆς γὰρ προσλήψεως ἀρθείσης, πᾶσα πάντως ἡ γνῶσις ἀφ' ἡμῶν αἴρεται.

Τῇ προσλαμβανούσῃ δυνάμει Νοῦς ὄνομα, Νοητικὸς δὲ ὁ ταύτης εὐμοιρῶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρόσληψις δε, ἣν καὶ ἰδέαν καλῦμεν, τὸ ἀμέσως παρὸν ἐςὶ τῇ ψυχῇ· ὃ γὰρ αὐτὰ τὰ πράγματα, τέτων δὲ τὰς ἰδέας ἡ ψυχὴ ἐςὶ διασκεπτομένη· κὶ περὶ τέτων κρίνει, περὶ τέτων συλλογίζεται, κὶ περὶ αὐτὰς ἅπασα ἡ Συλλογιςικὴ τέχνη ἐνασχολεῖται.

Πρὶν ἢ δὲ τῆς τοιᾶσδε μεθόδε τὴν ἔκθεσιν ἐπιχειρήσασθαι, ἧς ἡ τῶν ὄντων γνῶσις τέλος ἐςὶ τὸ σκοπέμενον, πρᾶργε ἂν ἡμῖν ἔσοιτο, περὶ τῶν πραγμάτων γενικώτατα θεωρεμένων, ἔςιν ἃ προτάξασθαι. Ἐπεὶ δὲ λόγος ἐςὶ καὶ περὶ τῆς ψυχῆς ὅπως ἂν ἰθύνοιτο, συντελὲς ἂν εἴη καὶ ταύτης τὰ πάθη προδιασκέψασθαι. Καὶ ἔςαι τοίνυν ἡμῖν ἡ τῆς πραγματείας τάξις ὧδ᾽ ἔχεσα:

Α΄. Περὶ τῶν Ὄντων γενικώτατα θεωρεμένων· Β΄. δὲ περὶ τῆς Ψυχῆς· Γ΄. δὲ καὶ τελευταῖον, ὅπως ἂν αὕτη περὶ τὴν θήραν τῆς τῶν ὄντων γνώσεως διιθύνοιτο, πραγματεύσομαι· ὧν τὰ μὲν πρῶτα δύο, τῆς Μεταφυσικῆς ἐςὶ θεωρίας, τὸ δὲ τρίτον τῆς κατὰ τὴν Λογικὴν ἐςὶ προθέσεως.

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

## Περὶ τῦ Ὄντος ἐν γένει, κὶ τίνες αἱ τῶν πραγμάτων Οὐσίαι.

§. 1. Τῶν πραγμάτων ἅτε γινωσκόμενα ἡμῖν τυγχάνει, καὶ ἅπερ ἠγνόηται, κοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νὸν ἔχει τὰ πάντα, τὸ εἶναι. Τὸ δὲ ὕπαρξιν ὠνόμασαν οἱ Νεώτεροι, Ὂν εἶναι ὑποσημαινόμενοι, τὸ ὅπερ ἐςί.

§ 2. Τῦ δὲ Ὄντος τὴν ἰδέαν ἐξ ἀφαιρέσεως πορίζόμεθα, ὡς οἱ Φιλοσοφῦντες λέγειν εἰώθασι. Περὶ δὲ Ἀφαιρέσεως ἐν τοῖς λογικοῖς, ὅπω γὰρ τὰ ἐν ἐκείνοις, τῆς παρύσης ἐςὶ προθέσεως.

§ 3. Ἀφαίρεσιν δὲ καλῦμεν, ὅτε περί τι νοῦντες, ὑ πᾶσι τοῖς ἀναγκαίως αὐτῷ προσήκυσι τὸν νῦν προσέχομεν. Οὕτω τῦ σφαιροειδῦς ἰδέαν καρπῦμαι, μόνῳ τῷ τῦ σώματος σχήματι προσέχων, καὶ ὔτε τὴν ὕλην ἐξ ἧς, ὐδὲ τὸ μέγεθος ὅσον, ἐπιλογιζόμενος.

§ 4. Οὕτως αὐτὸ μόνον ἀναπολῶν, τὸ τοῖς πᾶσι κοινὸν ὅσα ἐςὶ, τῶν δὲ ἑκάςῳ προσόντων παθημάτων ἀλογῶν, τὴν ἰδέαν τῦ Ὄντος ἐν γένει ἀρύομαι.

§ 5. Ἐπεκτείνυσι δὲ καὶ μᾶλλον οἱ Φιλοσοφῦντες τῆς Φωνῆς τὸ σημαινόμενον, καὶ ἐπὶ τὰ, πράγματι μὲν μηδαμῶς ὄντα, εἶναι δὲ μὴ ἀδυνατῦντα, προάγοντες.

Τὴν τῦ Ὄντος ἐν ἀφαιρέσει ἰδέαν, ὐκ ἀλυσιτελῶς ἐξηκριβῶσθαι τοῖς Φιλοσοφῦσιν, ἐκ τῶν ἐπὶ τῦ ἐν χερσὶ πρώτυ μέρυς διαληφθησομένων, ἔςαι Φανερὸν· ὐ μὴν ἀλλὰ καὶ πολλοῖς αὐτὴν ἀλυσιτελέσι τε καὶ ἀνηνύτοις ζη-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τήμασι παραχεῖν τὸ ἐνδέσιμον, ὀδὲν ἧττον ὁμόλογον.

§ 6. Τὰ πράγματα νοερῶς περιπολῶντες, διακριδὸν ἀπ' ἀλλήλων ταῦτα καθορῶμεν τυγχάνοντα, καὶ τότων ἕκαςον ἰδιάζον τὶ φέρειν, ᾧ τῶν ἄλλων διέςαλται· καλῶσι δὴ τῶτο Οὐσιώδη διαφοράν, τὸ δι' ὃ τὸ ὄν ἐςὶν ὅπερ ἐςὶν ὑπογράφοντες· οἷον ἐπὶ τῶ κύκλω, τὸ πάντα τὰ ἐπὶ τῆς περιφερείας ἐπίσης ἀπὸ τῶ κατὰ τὸ κέντρον ἀφεςᾶναι. Διὰ τῶτο γὰρ καὶ μόνον τὸ σχῆμα Κύκλος εἶναι τίθεται.

§ 7. Τὴν ὀσίαν ἀπὸ τῶ ὅπερ ὀσία ἐςὶν, ἀπαγαγεῖν ἀδύνατον εἶναι, εἰ μὴ κατ' ἀφαίρεσιν, τὶς ὀ συνορᾷ; Ἆιρε τὴν δηλωθεῖσαν τῶ κύκλω φύσιν, καὶ οἰχήσεταί σοι ὁ κύκλος. Ἐπίσης ἀφεςῶτα ἔχειν ἀπὸ τῶ κέντρω τὰ ἐπὶ τῆς περιφερείας σημεῖα, καὶ κύκλον εἶναι, ταυτόν ἐςί.

§ 8. Καὶ ἄλλως δέπως τὸ αὐτὸ τῶτο οἱ φιλοσοφῶντες ἐκφέρειν εἰώθασι, λέγοντες, τὰς τῶν ὄντων ὀσίας αἰδίως εἶναι, τετέςιν ἀτρέπτως.

§ 9. Τὠναντίον ἔδοξε τοῖς εἰπῶσι, τῆς τῶ Θεῶ βωλήσεως τὰς τῶν ὄντων ὀσίας ἐξῆφθαι, καὶ κατὰ τῶν αἰωνίων τιθεμένων, ὡς παραλυμαινομένων τῶ Θεῶ τὸ πανσθενὲς, κατεξανιςαμένοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 10. Περὶ ȣ̃ τόδε μοι μόνον παρατηρητέον, ὡς ἄπιςά μοι δοκεῖ τȣ̀ς ἀτρέπτȣς τὰς ȣ̓σίας διατεινομένȣς, τοῖς τὸδ' ἀπαναινομένοις, ταυτόν τι θέλειν, ὑπὸ τῷ ὀνόματι τῆς ȣ̓σίας δηλȣ̃ν.

§ 11. Ὅ,τι μὲν γὰρ ἐκεῖνοι ποτὲ φασὶ ξυνορῶ· ὅ,τι δ' ȣ̃τοι φρονεῖν ἐοίκασι, ȣ̓δὲ τὴν ἀρχὴν συμβαλέσθαι ἔχειν, ἐμαυτῷ σύνοιδα.

Τρίγωνον γὰρ ἐννοῶν, ἐν αὐτῷ τῷ τρεῖς μόνας ἔχειν γωνίας, τὴν τȣ̃ τοιȣ̃δε σχήματος φύσιν οἶδα κειμένην. Ἐὰν γὰρ γωνίαν προσθῇς, ἢ ἀφέλῃς, ἡ τȣ̃ τριγώνȣ σοι φύσις ἀρθήσεται. Τȣ̃το ȣ̃ν διατεινόμενος, σαφῆ τȣ̃ λεγομένȣ καὶ εὐκρινῆ φέρω τὴν ἔννοιαν. Εἰ δέ τις ἔξαρνος ὢν τȣ̃ τοιȣ́τȣ, τὸν Θεὸν λέγοι γωνίας τέτταρας τῷ τριγώνῳ δύνασθαι παρασχεῖν, καὶ τȣ̃ τριγώνȣ αὐτȣ̃ ȣ̃τω σωζομένȣ, ὡς τὰς τρεῖς γωνίας εἶναι κατὰ τὸ αὐτὸ τέτταρας, ἀλλ' αὐτὸς ἂν τȣ̃ φθέγματος, ȣ̓δὲ πλάσαι ἂν ἐπιεικῶς δυναίμην τὴν ἔννοιαν.

§ 12. Ἀλλ' εἰ ταῦτα διανοȣ́μενοι, τὸ νοητικὸν ἡμῖν, πρός γε τὴν καθεςῶσαν ἤδη τῶν πραγμάτων ἡρμόσθαι φασὶ, καθ' ἣν τρεῖς ἔχειν νοεῖται γωνίας τὸ τρίγωνον. Συμμεταβάλοι δ' ἂν, φασὶ, ταῖς ȣ̓σίαις, καὶ τὸ τῆς ἡμετέρας νοήσεως. Τί δ' ἂν αὖθις διὰ τȣ́των βȣ́λοιντο, συνορᾶν ȣ̓κ ἔχω, εἰ μὴ τυχὸν ὅτι αἱ παρ' ἐμοὶ ἰδέαι τραπῆναι δύναιται. Τῷ δὲ, ȣ̓δ' αὐτὸς ἂν ἀντείποιμι, δυναίμην γὰρ ἂν τετράγωνον



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμβαλὼν καλέσαι τρίγωνον· Ἀλλὰ γὰρ ὅτω παρηλλακταί πως ἡμῖν τὸ ζητέμενον· ἐκεῖνο γὰρ ἐγὼ καὶ μόνον διετεινόμην, ὡς ἀμήχανον τροπὴν ὑποςῆναι τὸ σχῆμα, καὶ ἅμα ὅπερ ἦν μεῖναι, τετέςι μηδαμῶς τροπὴν ὑποςῆναι.

Τὸ εἶναι καὶ ἅμα τὸ αὐτὸ μὴ εἶναι αὐτόθεν ἀναιρεῖται, τό,τε πρὸς τὰ τοιαῦτα τὴν τε Θεε δύναμιν ἐπεκτείνειν δῆθεν φιλονεικεῖν, ἐδὲν ἀλλ' ἢ λέγειν ἐςὶ, τὸν Θεὸν παράγειν ἃ μὴ παράγει, ταυτόντε εἶναι καὶ πάντα τετον, καὶ μηδὲν δύναϛθαι.

## ΚΕΦΑΛΑΙΟΝ Β.

## Περὶ Οὐσιῶν καὶ Τρόπων.

§ 13. Ἀλλ' ἐπὶ τὴν κατὰ γένος τῶν πραγμάτων ἔρευναν ἐπανέλθωμεν. Ἐν ᾧ τὰ πράγματα πάντα εἶναι ἀνασκοπέμεθα, παρ' αὐτὸ τετο, ἢ τὸ μὴ πάντα τὸν αὐτὸν εἶναι τρόπον νοῦμεν.

§ 14. Τὰ μὲν γὰρ ἐν ἑαυτοῖς ἅπαντα ἔχει, ὅσα ἀναγκαῖα ἐςὶ πρὸς ὕπαρξιν αὐτοῖς· οἷον τὸ φυτὸν, ὁ λίθος, κτλ. καὶ καλῦνται ταῦτα Οὐσίαι.

§ 15. Τὰ δὲ ἐχὶ τοιαύτης ἀπολαύει ὑπάρξεως, ἀλλ' ὥςε εἶναι ἑτέρε τινὸς προσδεῖ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπερ ἄνευ εἶναι ὁ δύνανται· τὸ σφαιροειδὲς τοῦ χήματος οὐδαμοῦ ἔςαι, τοῦ σφαιρικοῦ ἄνευ. Ἡ κίνησις δὲ τοῦ κινητοῦ χωρὶς ποῦ ποτ' ἂν εἴη; Τὰ τοιαῦτα καλοῦνται Τρόποι, Προσόντα, Συμβεβηκότα.

§ 16. Ἡ Οὐσία ἐν ἑαυτῇ ἔχει, τὰ ἐπιζητούμενα αὐτῇ εἰς τὸ εἶναι· ὁ δὲ τρόπος ταῦτ' ἔχει οὐκ ἐν ἑαυτῷ, ἀλλ' ἐν τῇ οὐσίᾳ, ἧς ἄνευ εἶναι ἀδυνατεῖ.

§ 17. Τὸ Σῶμα ἐςὶν οὐσία, καίτοι δὲ τόπου δεόμενον, ἀλλὰ τοῦ τόπου προσὸν ἴδιον οὐκ ἔςιν, ὡς μηδαμῶς αὐτῷ τῷ σώματι κυρίως ἀνήκοντος· οὐδὲ γὰρ ἀμείβεται τὸ σῶμα ἐκ τοῦ τόπου μεθιςάμενον, ὡς οὐδ' αὐτὸς ὁ τόπος τῇ τοιᾷδε τοῦ σώματος μεταςάσει τροπὴν ὑφίςαται. Τὸ μέντοι προσὸν τῆς οὐσίας ἐςὶν ἀδιάζευκτον, ἥτε οὐσία ἀτρέπτως τὴν τοῦ προσόντος ἀποβολὴν ὑποςῆναι οὐ πέφυκε.

§ 18. Τῶν οὐσιῶν ἰδέας οὐδαμῶς φέρομεν, διὰ δὲ μόνων τῶν αὐτῶν προσόντων τὰς οὐσίας γινώσκομεν. Οὐσίαν δὲ συλλαβεῖν τῇ διανοίᾳ, τὴν μὴ ὁπωσοῦν ὑπὸ τῶν προσόντων αὐτῇ διοριζομένην, οὐκ ἔχομεν, ὅ,τι μὴ κατ' ἀφαίρεσιν, καὶ τότε δὴ τὰ τοιάδε προσόντα ὡς ὑποκειμένῳ τινὶ ἐνυπάρχοντα ἐπινοοῦμεν, ὅπερ αὐτὴ ἡ οὐσία ἐςὶν, ἡ δι' ἰδέας ἄλλως ἀθήρατος.

§ 19. Τῶν οὐσιῶν αἱ μὲν εἰσὶ Νοεραὶ, αἱ δὲ μὴ Νοεραί· Νοερὰς δὲ δύο ἴσμεν τὸν Θεὸν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κὴ τὴν ἑαυτῶν Ψυχὴν, καίτοι παρὰ τάσδε κὴ ἄλλας ὑφεςάναι ἐ διαμφισβητἕμεν· ἀλλὰ ἢ δύο ἐσίαι μὴ νοεραὶ σφίσι γινωσκόμεναι εἰσὶ, τό τε Διάςημα κὴ τὸ Σῶμα.

§ 20. Τὰ δὲ προσόντα μετὰ διαφορᾶς θεωρεῖται· τὰ μὲν ἐσιώδη λέγεται, ἃ σωζομένȣ τȣ̃ ὑποκειμένȣ ἐκ ἂν ἀπαχθείη· τὰ δὲ κατὰ συμβεβηκὸς κὴ συμβεβηκότα ἁπλῶς, οἷοι δὴ καλȣ̃νται οἱ Τρόποι, οἳ κὴ σωζομένȣ, ἀπὸ τȣ̃ πράγματος γίνονται.

§ 21. Τὰ ἐσιώδη τῶν προσόντων διαφέρει ἐπὶ τȣ̃ αὐτȣ̃ ὑποκειμένȣ, ἢ διαφόρως αὐτὸ ἐπιθεωρεῖται, τȣτέςι κατὰ τὸ διάφορον τȣ̃ διορισμȣ̃, ᾧ αὐτὸ διορίζεται· ὥςε ἐπὶ τȣ̃ ὑποκειμένȣ τȣ̃ καλῶς διορισθέντος τὰ προσόντα πάντα ἐσιώδη τυγχάνειν.

Χρυσῆν σφαῖραν ἀνασκοπȣ̃ντι μοι, ἢ ταύτης μόνῳ τῷ σωματικῷ τῆς Φύσεως προσέχοντι, ἐσιώδη ἔςαι προσόντα, ἤτε ἔκτασις, κὴ τὸ ἀδιαχώρητον, κὴ ὅσα ἄλλα τῶν σωμάτων ἁπάντων ἐςὶ κοινά· τὰ δὲ λοιπὰ ἅττα τὸ χῆμα, κὴ τȣ̃ χρυσȣ̃ ἀφορᾷ τὰς δυνάμεις, ἔςαι συμβεβηκότα.

Εἀν δὲ περὶ τȣ̃ σφαιρικȣ̃ σώματος ὁ λόγος ᾖ, τότε δὴ ἢ τὸ σφαιροειδὲς αὐτῆς προσὸν εἶναι τίθεται, ȣ̃ διεκπεσόντος ἡ χρυσῆ σφαῖρα, ἐκέτ' ἂν εἴη σῶμα σφαιρικόν.

§ 22. Ἐὰν δὲ τὸ ἀνασκοπȣμενον κατὰ πάντα λόγον διωρισμένον ᾖ, ἐδὲν δυνήσεται ἀρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θῆναι, μὴ ᾗ τινὸς τῶν διορισμῶν συναιρομένου, καὶ τοῦ πράγματος οὕτω τροπὴν ἅμα πάσχοντος. Διὸ ἐπὶ τῆς τοιᾶσδε ὑποθέσεως, τὰ προσόντα πάντα οὐσιώδη ἐστί.

## ΚΕΦΑΛΑΙΟΝ Γʹ.

## Περὶ Σχέσεων, ἔνθα καὶ περὶ τοῦ μὴ Ὄντος καὶ τοῦ Μηδενός.

§ 23. Παρὰ τὰς Οὐσίας καὶ τοὺς Τρόπους, καὶ Σχέσεις ἡμῖν εἰσὶν, ἂν τὰς ἰδέας πορίζόμεθα, παραθέσει δυεῖν ἰδεῶν.

§ 24. Ἀναφέρομεν δὲ ἐπὶ τὰς σχέσεις τοὺς τρόπους οἱ καλοῦνται ἐξωτερικοί. Καλεῖται δ' οὕτω τὸ ἐπιθεωρούμενον τῷ ὑποκειμένῳ, ὅτε ἐπὶ τὴν ἐνέργειαν ἑτέρου τινὸς ἀφορῶμεν. Τοιοῦτον ἀγαπᾶσθαι, ποθεῖσθαι. Ἐν οἷς ἡ παράθεσις δυοῖν τινοῖν ἐστὶ σαφὴς, οὐ γάρ οἷόν τέ τι ἀγαπᾶσθαι, ἐὰν μὴ ᾖ καὶ τὸ ἀγαπῶν.

§ 25. Εἰς ταύτας δ' ἀνήκουσι, ᾗ αἱ δεύτεραι καλούμεναι ἐπίνοιαι· τὰ γὰρ ὀνόματα κατ' αὐτὰς πρὸς ἕτερόν τι τὸ νοούμενον παριστῶσιν ἀναφερόμενον· οἷον μεῖζον εἶναι, διπλάσιον, ἥμισυ, κτλ:



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἐδὲ τῶν Ἀποφάσεων καὶ Στερήσεων χωρὶς θετέον τὰς χέσεις.

§ 26. Ἀπόφασιν καλῦσι τὴν ἀπεσίαν προσόντος, τῦ τῷ ὑποκειμένῳ ἐνυπάρχειν ὕτ' εἰωθότος, ὕτε φύσιν ἔχοντος. Οὕτω κατὰ τῦ λίθυ τὴν νόησιν ἀποφάσκομεν, ἐκ ἄλλως δηλονότι, ἢ τὸν λίθον πρὸς τὴν νοῦν πεφυκῦιαν ὐσίαν παραβάλλοντες, ὐ γὰρ ἄλλως τὸ νοῦν μηδαμῶς ἂν προσεῖναι τῷ λίθῳ κρίναι δυνάμεθα.

§ 27. Στέρησις δὲ ἐςὶν ἀπεσία προσόντος, τῦ ὐχ ὅπως δυναμένυ, ἀλλὰ καὶ εἰωθότος προσεῖναι· Κωφὸς ἀκοῆς ἐςέρηται. Τὴν δὲ ἰδέαν πορίζόμεθα, τὴν τῆς κωφότητος, τὸν κωφεύοντα δηλονότι, πρὸς τὸν τῆς ἀκυςικῆς ἐυμοιρῦντα δυνάμεως παρακρίνοντες.

§ 28. Εἰσί δε καὶ χέσεις ἄλλαι ὑπὲρ ἀριθμόν· πρὸς δὲ ταύτας πᾶσαι κρίσεις καὶ πάντες συλλογισμοὶ προσανήκυσιν. Ἀλλὰ περὶ χέσεων πλείονα ἐν τοῖς λογικοῖς παρατηρηθήσεται.

§ 29. Ἅλις δ' ἂν ἔχοι ἐπὶ τῦ παρόντος, τόδε δὴ μόνον ἀναζητῆσαι, πρὸς τίνα τάξιν τῶν ὄντων, τὰς χέσεις ἀνάγειν δεῖ;

Οὐ μὴ γὰρ αὗται τὸ μηδὲν ἂν εἶεν· ἀλλὰ καὶ αἱ τύτων ἰδέαι, ὐδέν τι ἔξω τῦ Νῦ πεφυκὸς εἶναι, καὶ τῆς ἰδέας ἕτερον παριςῶσι· τυτέςι, κατὰ τὰς ἀφῃρημένας τῶν ἰδεῶν κ)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὖται, ἔξω τῆς ψυχῆς, ἐκ ἔχεσι τὰ ἀρχέτυπα, οἷα δὴ αἱ τῶν ἐσιῶν, καὶ αἱ τῶν τρόπων· ὥστε ἐδὲ κατὰ τὰς ἐσίας καὶ τὲς τρόπες αἱ χέσεις ὑπάρχεσι. Ταύτητοι καὶ ζητεῖν ἔξεστιν εἰ δέον ἐν τοῖς ἔσι τάσσειν αὐτάς; Ἀλλὰ γὰρ ἡ τε ζητεμένε ἐπίλυσις ἀπὸ τε ὁρισμε τε ὄντος ἤρτηται.

§ 50. Εἰ μὲν γὰρ ὂν λέγοιτο, πᾶν ὅ,τι ἐςὶν, ὅπως ἂν αὐτὸ ποτὲ καὶ ἦ· τετέςιν, εἰ τὸ ὂν ἀντιθέτως παραληφθείη πρὸς τὸ μηδὲν, πᾶσαι αἱ χέσεις τοῖς ἔσιν ἂν συγκαταχθεῖν.

§ 51. Εἰ δ' ἐν ἐπὶ τὰ ὄντα μόνον ἀνάγοιντο, ἅττα ἐσίαι εἰσὶν, ἢ τρόποι, τότε δή τι τὸ μεσιτεῦον ὄντος τε καὶ μηδενὸς παρέςαι. Μὴ Ὂν αὐτὸ καλεσιν οἱ παρεισάγοντες, καὶ τε μηδενὸς ἔτως ἀντιδιαςέλλεσι.

§. 52. Οὐδὲν ἐν ἐν τέτοις δυχερὲς ἡμῖν ἀπαντήσει, ἐὰν τοῖς μὴ ἔσι τὰς χέσεις πάσας συγκαταλέξωμεν. Εἰσὶ γὰρ ἅπασαι τῆς αὐτῆς φύσεως, ὥς γε πρὸς τὸ εἶναι. Ἥ,τε διάκρισις ᾗ τὰς μὲν αὐτῶν τοῖς ἔσι, τὰς δὲ τοῖς μὴ ἔσιν ἐγκατατάττεσι, λόγον ἐκ ἂν ἔχοι θεμελιώδη, εἰ μή τις ἔτως ἀποδοίη τὸ Ὂν, ὥς τινὰς μὲν τῶν χέσεων, ἁπάσας δὲ μὴ τῷ ὁρισμῷ συμπεριλαμβάνειν.

Ἀλλὰ λογομαχεῖν ἐ δέον, ὁπότε ἀπὸ βελῆς αἱ τῶν φωνῶν δυνάμεις εἰσίν· ἀφεκτέον δε, τε τοῖς πράγμασιν ἐμπαρισάγειν διαίρεσιν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ἐκ τῆς αὐθαιρέτου τῶν φωνῶν σημασίας ἀναπηγάζουσαν.

§ 33. Τὰς σχέσεις τὸ μηδὲν μὴ εἶναι εἰπόντες (29), τὸ ἁπλῶς μηδὲν ἢ καλοῦσιν, ἐνεθυμήθημεν. Ἐκείνου γὰρ πάθος οὐδὲν, καὶ οὐδὲν ἂν εἴη τοιοῦτον, καθ' ὅ τι καταφάσκεσθαι, ἢ ἀποφάσκεσθαι δύναται.

Περὶ γοῦν τὸ μηδὲν, δύο τινὰ φυλακτέον:

§ 34. Α'. Μὴ τὸ Μηδὲν ἀντί τινος τιθέναι, οἷον συμβαίνει, τοῖς ἅμα εἶναι κατὰ τὸ αὐτὸ διατεινομένοις τὰ ἀντιφάσκοντα.

§ 35. Β'. Μὴ τὸ τὶ ἓν, ἀντὶ μηδενὸς λογίζεσθαι· οἷον δὴ πάσχουσιν, οἱ τὸ κενὸν εἰσάγοντες, ἔπειτα μηδὲν εἶναι τοῦτο ἀποφαινόμενοι.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

## Περὶ Δυνατοῦ καὶ Ἀδυνάτου.

§ 36. Εἴρηται (5) Ὂν εἶναι οὐχ ὅπως ὅπερ ἐστὶν, ἀλλὰ καὶ ὃ οὐκ ἔστι μὲν, δύναται δὲ εἶναι. Τοῦτο δὲ καλεῖται Δυνατόν.

§ 37. Τὸ δὲ εἶναι μὴ δυνατὸν, Ἀδύνατον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 38. Ἃ δὲ πλάττομεν, ἤτοι συνάπτοντες, ἢ διαζευγνῦντες τὰς ἰδέας, **κατ᾽ ἐπίνοιαν ὄντα** καλεῖται, εἴτε ἀδύνατα ταῦτα, εἴτε καὶ δυνατὰ μὲν, μὴ ὑφεςῶτα δέ.

Τὸ δ᾽ ἀδύνατον εἶναι ἐκ ἀεὶ ἐκ τῆς αὐτῆς ἀρχῆς ἀποῤῥεῖ.

§ 39. Ἀπολύτως μὲν γὰρ ἀδύνατον λέγεται, ὃ καθ᾽ αὐτὸ θεωρέμενον, αὐτὸ ἑαυτῷ ἐμποδὼν τῷ εἶναι ἐςί. Τῶτο δὲ ἐδὲν τῷ ὄντι ἐςὶ, κἂν ὡς εἴπερ ἦν τι, φωναῖς ἐκφέροιτο. Ὄρος ἄνευ ὑπωρειῶν, ἀδύνατον εἶναι, καὶ κυρίως ἐδὲν ἐςί. Καὶ γὰρ, ὥσπερ ἐπὶ τῶν ἀριθμητικῶν, τριῶν τεθέντων, εἶτ᾽ ἀφαιρεθέντων τριῶν, ἐδὲν ὑπολειφθήσεται, ἔτω κἀνταῦθα, ὃς ἂν θῇ ὄρος, θήσει καὶ ὑπωρείας, ἐδ᾽ ἂν ἄρῃ τὰς ὑπωρείας, συνεξάρει καὶ τὸ τεθὲν ὄρος, καὶ εἰς τὸ μηδὲν πάντα οἰχήσεται.

§ 40. Ἀλλὰ καὶ ἕτεροι τῷ ἀδυνάτω τρόποι εἰσὶν, οἱ τῷ τεθέντος διαφέρεσι· ἐνίοτε γάρ τι καθ᾽ αὐτὸ μὲν θεωρηθὲν δυνατὸν ἐςὶν, ἔξωθεν μέντοι τὸ ἐμποδὼν ἵςαται τῷ μὴ αὐτὸ δυνατὸν εἶναι. Τῷ ἐν δεσμωτηρίῳ καθ᾽ αὐτὸν θεωρεμένῳ, ἐδενὸς τῶν εἰς ἔξοδον αὐτῷ ἀπαιτεμένων ἐνδεῖ, ἀλλ᾽ ἐξιέναι ἀδυνατεῖ τῶν θυρῶν κεκλεισμένων.

§ 41. Ἀποδίδοσθαι δὲ πολλάκις εἴωθε τὸ ἀδύνατον, μόνῃ τῇ σχέσει τῇ μεταξὺ δυοῖν τινῶν. Κύλινδρος ὀπῆς παχύτερος διαχθῆναι διὰ τὴν μεταξὺ τῶν μεγεθῶν ἐγχωρεῦσαν σχέσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀδυνατεῖ. Ξέςης Φέρε ὑγρῦ πλήρης, κἂν κενωθείη, ὐκ ἀεὶ δύναιτ᾽ἂν ὑγρὸν ἕτερον περιέχειν ὔτ᾽ ἴσον, ὔτ᾽ ἔλαττον, ἡ γὰρ διὰ τὴν ἰδιάζυσαν τῦ ὑγρῦ φύσιν, ϗ τὴν τῦ σκεύυς ὕλην, ἐξηρτημένη χέσις, γένοιτ᾽ ἂν κώλυμα· οἷον εἰ περὶ πνεύματος νιτρώυ ϗ σιδηρῦ σκεύυς ὁ λόγος.

§ 42. Παρὰ τύσδε τὺς τῦ ἀδυνάτυ τρόπυς, ὓς ἅπαντες Φυσικὺς καλῦμεν, ὐ παροπτέον ὐδὲ τὰ κατ᾽ ἦθος ἂν λεγόμενα ἀδύνατα. Ἔςι δ᾽ οὕτως ἀδύνατον, ὐ τὐναντίον, ὐ πάνυτι, ἀλλ᾽ ἔςι μέν πως πιθανόν. Ἀλλὰ περὶ τῦ ὕτως ἀδυνάτυ, ἐπὶ τῦ παρόντος ὐ πραγματευόμεθα, ἀνῆκον γὰρ τῷ περὶ τῦ πιθανῦ λόγῳ, ἐν τοῖς λογικοῖς ἐξετασθήσεται.

§ 43. Ἠθικῶς ἀδύνατον ἐνταῦθα καλῦμεν, **ὗ τὴν αἰτίαν ἐπὶ Νῦ τινὸς ζητητέον ἐςὶν.** Οἷον ὑγειαίνων τὰς φρένας ἄνθρωπος εἴσω λυτῆρος ὑπερκοχλάζοντος ὐ γενήσεται· τὸ δ᾽ ἀδύνατον ἐν τύτῳ, εἰ γὰρ εἰσέλθοι, ὐκ ἂν εἴη ὑγειαίνων τὰς φρένας. Οὐ μὴν ἐπί τι εἶδος τῶν προαναπτυχθέντων ἀναχθήσεται τὸ ὕτως ἀδύνατον, ἀλλ᾽ ἢ ἐπὶ τὸ ἔχατον· ὐ γὰρ τῇ φύσει, ἀλλὰ τῇ νοερᾷ δυνάμει μόνον ἀποδοτέον.

§ 44. Πρὶν ἤ τι τοίνυν ὅλως δυνατὸν ὂν ἀποφήνασθαι, δῆλον ἡμῖν εἶναι δέον, ὡς ὐδεὶς τῶν εἰρημένων τρόπων, τῇ τύτυ ὑπάρξει ἐμποδὼν ἵςαται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Ε΄.

### Περὶ Ἀναγκαίου καὶ Ἐνδεχομένου.

§ 45 Παραιτέρω τὰ ὄντα ἐν γένει ἀνασκοπούμενοι, τὰ μὲν τῶν Ἀναγκαίων τυγχάνοντα καθορῶμεν, τὰ δὲ τῶν Ἐνδεχομένων. Ἀλλ' οὐ ταυτὰ πάντες, ταῖσδε ταῖς φωναῖς ὑποδηλοῦν βούλονται.

Πάντες μὲν γὰρ συνᾴδουσιν, ἀναγκαῖον εἶναι συνομολογοῦντες, οὗ τοὐναντίον ἀδύνατον, οὐ μὴν δὲ πάντες τοὺς αὐτοὺς νοοῦσι τρόπους τοῦ ἀδυνάτου περὶ ὧν ἔφημεν. Τὰ πολλὰ γὰρ μόνῳ τῷ πρώτῳ, ἤτοι τῷ ἀπολύτως προσέχουσι· ποτὲ δὲ μόνον τὸν ἔσχατον ἀποκλείουσιν. ὃν κατ' ἦθος ἐλέγομεν· ἐφ' οἷς οὐδὲ τοὺς αὐτοὺς ἀεὶ οἱ αὐτοί, ἐξ οὗ πολλή τις ἀναφύεται σύγχυσις.

§ 46. Ὑποθετικὴν τινὲς Ἀνάγκην καλοῦσιν, ἡνίκα τοὐναντίον ἀδύνατον ἐστὶν οὐ φύσει, ἀλλ' ἄλλοθεν.

§ 47. Πρὸς ἐκφυγὴν οἱασοῦν συγχύσεως, ταῖς αὐταῖς ἀεὶ φωναῖς, τὰς αὐτὰς ἰδέας ἑρμηνευτέον. Ἐν γένει τοίνυν ἀναγκαῖον ἐροῦμεν, οὗ τοὐναντίον ἀδύνατον ἐστὶν, ὁποῖον ποτ' ἂν ᾖ τοῦ ἀδυνάτου τὸ αἴτιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 48. Ἀπόλυτον δὲ ἀνάγκην καλέσομεν, ὁπότε τἀναντίον ἀπολύτως ἀδύνατον ἐςὶ· τȣτέςιν ἔνθα ἐναντίον ȣδὲν ἐςὶ. ( 39 ) Οὕτως ἐπάναγκες ἐςὶ τὸ τρίγωνον τρεῖς ἔχειν γωνίας.

§ 49. Ταύτην δὲ καὶ Φυσικὴν ὀνομάζομεν ἀνάγκην ὥσπερ καὶ πανταχȣ͂, ὅπȣ ποτ᾽ ἂν τὸ ἀδύνατον τȣ͂ ἐναντίȣ κατὰ φύσιν ἐςί. (42) Καὶ πᾶσαν δὲ φυσικὴν Ἀνάγκην Εἱμαρμένην προσαγορεύσομεν. Τȣ͂ δὲ ἀδυνάτȣ κατ᾽ ἦθος τοιȣ́τȣ ὑπάρχοντος (45), καὶ ἡ Ἀνάγκη Ἠθικὴ ἔςαι.

§ 50. Τοιάδε ἐςὶν ἡ τὸν μὴ παραπαίοντα, τὸ ὑγιεινὸν βρῶμα πρὸ τȣ͂ δηλητηρίȣ τίθεσθαι ἀναγκάζȣσα, καὶ τὸ μὲν αἱρεῖσθαι, τὸ δ᾽ ἀποτρέπεσθαι· εἰ γὰρ ἄλλως ἐποίει, τὰς φρένας ἂν παρεκέκοπτο.

§ 51. Ἐνδεχόμενον λέγεται, τὸ εἶναι δυνάμενον ἢ μὴ εἶναι, ὅπερ ἐξ οἰκείας φύσεως ἥκιςα διορίζεται. Σύγχυσιν δ᾽ ȣ̓ σμικρὰν τῆς τοιᾶσδε φωνῆς τῇ χρήσει συμβαίνȣσαν συνορῶμεν. Πολλοὶ γὰρ τὸ ἐνδεχόμενον ȣ̔́τω νοȣ͂σιν, ὡς εἴπερ οἱαδήποτε αὐτὸ ἀνάγκη ἀντιβαῖνον ἐτύγχανεν· ἀλλ᾽ ȣ̓χ ȣ̔́τω κοινὴ ἡ τοιάδε σημασία ἐςίν· ἐνδεχόμενον γὰρ ὁσημέραι καλεῖται, καὶ τὸ ἠθικῇ ἀνάγκῃ κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεπειγόμενον, καὶ τοῦ κατ᾽ αὐτὸ ὁριςικοῦ λόγου συνᾴδοντος. Τὸ μὲν γὰρ ἐνδεχόμενον ὡς ἐκ τοῦ πράγματος ἐςὶ, τὸ δὲ τῆς ἠθικῆς Ἀνάγκης ὡς ἐκ τοῦ πράττοντος.

§ 52. Τῶν μηδὲν ἐνδεχόμενον ἀναγκαῖον εἶναι λεγόντων, ἀντιδιαςέλλουσι τινὲς τοῦ ἀναγκαίου τὸ βέβαιον καὶ διωρισμένον. Ἀλλὰ γὰρ τὸ διωρισμένον τυγχάνον καὶ βέβαιον, ἄλλως ἔχειν οὐ δύναται, τὸ δ᾽ ἄλλως ἔχειν μὴ δυνάμενον, αὐτὸ τοῦτο ἀεὶ καλεῖται καὶ ἀναγκαῖον, καὶ τούτου τῷ κατ᾽ οὔνομα λόγῳ συμφωνεῖ (44 47), ὅπερ ἀφιςάμενοι, οὐκ ἂν ἔξω συγχύσεως ῥᾷςα γενοίμεθα. Δεῖ οὖν διακρίνειν ἅττα εἴδη ἀνάγκης, ἐξ ἰδίας φύσεως διαφέρουσι.

Διὰ δὴ τοῦτο Ἀναγκαῖα καλοῦμεν καὶ τῶν ἐνδεχομένων τὰ ὑπὸ Θεοῦ προορώμενα, τὸ γὰρ ἐναντίον οὗ προεῖδεν ἀδύνατον. Ἐπειδὴ δὲ αὐτὸ τὸ πρᾶγμα ἐνδεχόμενον ἐςὶν, οὐδενὶ τρόπῳ τὸ τῆς τοιᾶσδε ἀνάγκης ἀπολύτως ἔχει, οὐδ᾽ ἂν ἔχοι τις περὶ αὐτοῦ λέγειν, ὡς ἄρα καθείμαρται.

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

## Περὶ τῆς τῶν Ὄντων Διαμονῆς καὶ περὶ τοῦ Χρόνου.

§ 53. Πρὸ παντὸς, ὡς ἔφημεν, διὰ τῆς τῶν ὄντων θεωρίας, τὴν ἰδέαν θηρώμεθα τῆς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέτων ὑπάρξεως, σὺν αὐτῇ γεμὴν ἅμα καὶ τὴν τῆς **Διαμονῆς** πορίζόμεθα.

§ 54. Ἐπὶ τῆς διαμονῆς καὶ ἀρχήν τινα συνεπινοῦμεν, καὶ πέρας· τέτων ἀπαχθέντων ἡ διαμονὴ καλεῖται αἰώνιος· τῆς μὲν γὰρ ἀρχῆς ἀφαιρεθείσης τὸ αἰώνιον ἀπὸ τῦ πρόσω, τῦ δὲ τέλες, ἀρχῆς τεθείσης, τὸ αἰώνιον εἶναι λέγεται ἀπὸ τῦ ὀπίσω, καὶ αἴδιον.

Δισσὰ ἄττα περὶ τῆς Διαμονῆς εἰωθότα ζητεῖσθαι μόνον ἀνεξετάσω, τὸ μὲν περὶ τῆς κατ' αὐτὴν διαιρέσεως, τὸ δὲ περὶ τῆς διαδοχῆς.

§ 55. Πρῶτον ἂν ζητεῖται, εἰ σημεῖα τινὰ ἐςὶν ἐπ' αὐτῇ ἀδιαίρετα καὶ παντὸς δοθέντος ἐλάχιςα· ὅπερ εἰς ταυτὸ ἧκον τῷ περὶ τῆς διαιρέσεως τῦ ποσῦ ζητήματι, τὸν αὐτὸν τρόπον καὶ ἐπιλύεται.

Ὁ σημεῖον τι, ὅσον ἂν βέλοιο, σμικρὸν ἐπινοῶν, ὡς ἀρχῇ τινι καὶ πέρατι ἅμα τὸν νῦν προσέχων, αὐτῷ τέτῳ τῦ τεθέντος διενθυμεῖται δυνατὸν εἶναι δοθῆναι τὸ ἔτι ἔλαττον· ἅπαν ἄρα σημεῖον εἰς ἐλάττονα διῃρημένον ἐννοεῖν πεφύκαμεν. Ἐπί τε τῆς διαμονῆς μηδὲν εἶναι ἀδιαίρετον, παρὰ τὴν ἐκ διαδοχῆς δυοῖν σημείων διάςασιν, δῆλον, τὴν τελευτὴν μὲν τῦ ἡγεμένε ἔσαν, ἀρχὴν δὲ τῦ ἐφεπομένε.

§ 56. Δεύτερον δὲ, ὅπερ ἐκ ἄξιον παρελθεῖν, ζητεῖται, εἰ διαδοχῆς ἄνευ διαμονήτις δίδοται. Περὶ ἔ ἐκ ἂν πιςεύσαιμι τὲς διαφε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρομένȣς τἀναντία φρονῶν· ἐκ γὰρ τῆς κατὰ τὴν Διαδοχὴν σημασίας, ἡ τȣ͂ ζητȣμένȣ ἐπίλυσις ἤρτηται· εἰ μὲν γὰρ ἀντὶ Διαδοχῆς, ὃ κοινῇ φιλȣ͂σι, νοήσωμεν ἕτερόν τι μετὰ θάτερον ἐφεπόμενον, ȣ̓δὲν δυχερὲς, καὶ ȣ̓δ᾽ ἂν ἀμφισβητήσειέ τις ὅλως, ἀδιάδοχόν τινα διαμονὴν δίδοσθαι, τὰ ἐπὶ Θεȣ͂ προσόντα, τῇ δεȣ́σῃ προσοχῇ ἀναλογισάμενος.

57. Αἰώνιον γὰρ εἶναι, καὶ ἀδιαδόχως ἀεὶ κατὰ τὰ αὐτὰ διαμένειν, τὸν οἴασȣ͂ν τροπῆς ἐπέκεινα, τίς ȣ̓ συναινέσει;

Ἁπάσας συμπεριειληφὸς τὰς ἁπαξάπαντος ἰδέας τὸ Θεῖον ἔχει, ὅσας τῇ ἀπείρῳ αὐτȣ͂ νοήσει προείληφε, καὶ ȣ̓κ ἂν καινήν τινα ὅλως προσκτήσαιτο, καὶ τῶν ἰδεῶν ἁπασῶν, ἁπάσας προέχει τὰς παραθέσεις, καὶ τῶν παραθέσεων τὰς παραθέσεις, ἐπ᾽ ἄπειρον. Ἅπαντα ὡσαύτως αὐτῷ ἀπ᾽ αἰῶνος παρῆν, πάρεσί τε κατὰ τὸ αὐτὸ, καὶ εἰς αἰῶνα παρέσαι, μηδὲν προσλαβέσθαι, μηδέν τε ἀποβαλεῖν φύσιν ἔχοντι. Πᾶσα γὰρ, ἣν ἄν τις ἐπὶ Θεȣ͂ νοήσειε μεταβολὴν αὐτὴ ἀφ᾽ ἑαυτῆς περιτρέπεται. Τίνα γȣ͂ν τις ἐπὶ τῆς ȣ̔́τως ἐχȣ́σης διαμονῆς διαδοχὴν ἀναπλάσειεν.

58. Ὡσ εἴγε τῆς δε τῆς φωνῆς τὸ σημαινόμενον παραμείψωμεν, καὶ τὸ τῆς Διαδοχῆς συγκεχυμένως ἀντὶ τῆς ἁπλῆς τε καὶ μονοειδȣ͂ς ἐκλάβοιμεν διαμονῆς, τότε δὴ ἡ διαδοχῆς ἄνευ διαμονὴ, διαμονῆς ἄνευ ἂν εἴη διαμονὴ, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτης προΐςαθαι ἄλογον. Ἀλλὰ γὰρ ἐκ᾽ ἔςι διαδοχὴ τὸ τοιῦτο.

59. Ἡ κατ᾽ ἀφαίρεσιν ἰδέα τῆς διαμονῆς καλεῖται Χρόνος.

60. Ἐὰν διαδοχῆς ἄνευ διασκεψώμεθα τὴν διαμονὴν, ὁ Χρόνος καλεῖται Ἀληθής.

61. Τῇ διαδοχῇ προσέχουσιν ὁ Χρόνος Σχετικὸς ἔςαι, ἢ δι᾽ αὐτῆς τῆς διαδοχῆς μετρητός· τὰ δέτοι μέρη ὄτω μετρόμενα, ῥοπαὶ χρόνυ καλῦνται καὶ σημεῖα.

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

## Περὶ Ταυτότητος.

§ 62. Τοῖς διαμένουσι τὸν νῦν ἐφιςάνοντες, συνεχῶς μὲν αὐτῶν μεταβαλλόντων διαισθανόμεθα, ἐνίοτε δὲ αὐτὰ ἢ ἀτρέπτως μένειν συνορῶμεν, καθ᾽ ἑαυτὰ θεωρόμενα. Ἐφ᾽ ὅσον ὂν τι ἀμεταβλήτως ἔχον ἐςὶ, ταυτὸν εἶναι τι λέγομεν, παντός γε ἄλλυ διακρινόμενον. Ἑνάδα, δὲ καὶ Ταυτότητα τοῦ αὐτοῦ, αὐτὸ τῦτο καλῦσι.

63. Τὸ δ᾽ αὐτό τι λέγεται εἶναι ποικιλαχῶς. Καὶ ἐν γένει μὲν τὸ αὐτο τίθεται, ὃ μηδὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἐσιωδῶν προσόντων ἐξήμειπται. Ἀναμνηςέον γεμὴν, ἅττα περὶ τῶν προσόντων τέτων ἀνωτέρω ἡμῖν ἐκτέθειται (21). Καὶ δῆλον ἐςαι, τὸ ταυτὸν εἶναι ἠρτῆσθαι, ἀφ᾽ ὧν αὐτοὶ κατὰ νῦν περὶ τῦ πράγματος φέρομεν διὸ ϗ τέτῳ ταυτὸν εἶναι δοκεῖ, ὅπερ ἐκείνῳ ὡς ἤδη μεταμειφθὲν κρίνεται. Ὃ δὴ καὶ πρὸς τὸν αὐτὸν ἄνθρωπον ἀνάγοιτο ἂν ἄλλοτε καὶ ἄλλοτε. Τὸ μὲν ἓν πτῶμα ἄνθρωπος ἐκ ἐςι, πολλάκις ἀλλ᾽ ἓν, περὶ ὡρισμένε τινὸς ἀνθρώπε λέγειν ἔπιον, τῦτον ἐν ἐκείνῳ κεῖσθαι τῷ σήματι φάσκειν εἰώθαμεν, ὡς εἴπερ ἡ καταληφθεῖσα κόνις, τὴν ἀνθρώπε συνίςη ταυτότητα.

Καί τοι δὲ μεγάλη δοκῦσα, ἐμὴν τοσαύτη ἐντεῦθεν ἡ σύγχυσις ἕπεται, ἐκ γὰρ τῆς τῶν ὀνομάτων χρήσεως, τὶ δήποτε ἐπὶ τῶν ἔτω λεγομένων φρονῦσιν οἱ λέγοντες, ἅλις κατανοεῖται· ἐπειδὰν δὲ φιλοσοφικῶς ἀνασκεπτόμεθα τὴν ταυτότητα, ἀκριβέςερον τὰ περὶ αὐτῆς διορίζειν ὀφείλομεν.

§ 64. Ἐπειδὰν οὖν περὶ ἐσίας ὁ λόγος, ταύτην οἷας ἔν ἄλλης ἀντιδιαςελλομένην ἐν..ῦμεν, κἂν τέτῳ μόνῳ τὴν κατ᾽ αὐτὴν θετέον ταυτότητα. Ἐφ᾽ ὅσον γὰρ αὐτὸ διασώζει δι᾽ ὃ τῶν ἄλλων ἀντιδιήρηται, ἡ αὐτὴ μένει· λόγος δὲ περὶ αὐτῆς τῆς ἐσίας περὶ τῦ ὑποκειμένε δηλονότι ᾧ τινὲς τρόποι ἐνυπάρχεσι, ϗ ἀφ᾽ ἓ τινὲς τῶν τρόπων διαζευχθῆναι ἀδυνατῦσι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 65. Ἐὰν δὲ περὶ ἐσίας, τῆς δὶ ἄλλε διοριζομένης τρόπε ὁ λόγος ᾖ, τότε δὴ ἐφ' ᾧ τὸ ταυτὸν σώζεσθαι, οἱ αὐτοὶ ἔτοι τρόποι ἐπὶ τῆς τοιᾶσδε ἐσίας μένειν ὀφείλεσι.

§ 66. Ἐν γένει δὲ καὶ ἡ τε τρόπε ταυτότης, τὸ ταυτὸν τῆς ἐσίας προϋποτίθησι, τὸν γὰρ αὐτὸν τρόπον ἐσίαις ἐνυπάρχειν ἄλλῃ καὶ ἄλλῃ ἀμήχανον· καὶ κατάχρησις ἐςὶν ἐπιεικῶς ἐπὶ τε λεγομένε ὅτι σώματα δύο τε αὐτε μετείληχε σχήματος.

§ 67. Ἀλλ' ἐδ' ἂν ἀπὸ ἄλλης πρὸς ἄλλην ἐσίαν μεταβαίη ὁ τρόπος, ὁ γὰρ ἀπὸ τῆς τροπολογεμένης ἔτος ἐσίας πράγματι ἕτερος.

§ 68. Ὡσαύτως ἡ αὐτὴ διασώζεται σχέσις, ἐφ' ὅσον ἐπὶ τῶν σχετικῶν ἐκεῖνα μένει ἀτρέπτως, ἀφ' ὧν αὕτη ἐξήρτηται· ἐδ' ἂν μὴ ἐμβάλοι ποτὲ εἰς ἀπάτην ἡμᾶς, τὰ κοινῇ περὶ τῶν ὁμοίων σχέσεων, ὡς εἴπερ μία τε καὶ ἡ αὐτὴ εἶεν, εἰωθότα λέγεσθαι. Καταχρηςικώτερον γὰρ φαμὲν τὸν αὐτὸν εἶναι λόγον τε 15 πρὸς 10, καὶ τε 6 πρὸς 4, διὰ τὸ ἐπ' ἀμφοῖν τὸν πρῶτον ἀριθμὸν ἡμιόλειον εἶναι τε δευτέρε, ἐξ ἃ πλέον ἐδὲν, ἢ ὁμοίες εἶναι τὲς λόγες ἕπεται.

§ 69. Ἡ τε ταυτε τῆς ἐσίας ἰδέα, τὴν τῆς παρατάσεως τε ὑπάρχειν συμπεριείληφε· τῆς γὰρ ἐσίας νοεμένης ἀναιρεῖσθαι, τετέςιν ὑπὸ τε Δημιεργε εἰς μὴ ὂν τρέπεσθαι, πᾶσα ἡ τε ταυτε πρόληψις οἴχεται. Τῷ δὲ τὴν ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καινȣ̃ αὖθις προβαλλομένῳ παραγωγὴν, ἀπαντήσω ἕτερον εἶναι τὸ δι᾽ αὐτῆς παραγόμενον, ὃ σαφῶς τȣ̃ προτέρȣ, τῷ καινὴν ἀρχὴν εἰληφέναι τȣ̃ εἶναι, νοεῖται διακρινόμενον.

§ 70. Τὸ δ᾽ αὐτὸ τȣ̃το, κἀπὶ τῶν τρόπων, καὶ τῶν σχέσεων νοείσθω, ȣ̓κ ἀεὶ μέντοι ȣ̓δ᾽ ἐπὶ πάντων. Ἐςὶ γὰρ ἐφ᾽ ὧν ἡ ταυτότης οἷον ἐγκαινίζεσθαι δύναται ἢ ἀποκαθίςασθαι. Οἷον τὸ αὐτὸ τȣ̃ σώματος ἔςαι σχῆμα, ἐὰν αὐτȣ̃ τὰ ἐλάχιςα τῶν μορίων ὡσαύτως διακείμενα ᾖ, κἂν ἐπὶ ποσὸν διαλελοιπεῖαν ἐπινοήσωμεν τὴν τοιάνδε διάθεσιν.

Ἐπ᾽ ἑνὸς δὲ τρόπȣ, ȣ̓κ ἐςὶν, ὅτι μὴ ἐν ἀδιαιρέτῳ, τȣ̃ χρόνȣ τὸ ταυτὸν εὑρεῖν, ὡς ἐπὶ τῆς Κινήσεως, καὶ τῆς Διαμονῆς.

§ 71. Ἔςι δὲ καὶ ταυτότης, ἡ ȣ̓κȣ̃ν μὲν ἀπὸ τῆς ȣ̓σίας, ἐκ δὲ τȣ̃ ποιῶς πως ἔχειν ἐπιθεωρȣμένη τοῖς πράγμασιν, οἷον ἐπὶ τῶν μηχανημάτων, καὶ ὅσα ἐκ μερῶν διαφόρων, πρός τι τέλος εὔχρηςον, ποιῶς πως διάκειται· τὰ γὰρ ȣ̃τως ἔχοντα, τῆς μεταξὺ τῶν μερῶν τάξεως αὐτοῖς διασωζομένης κἂν ἄλλως νῦν μὲν τόδε τὸ μέρος, νῦν δὲ τόδε ἀμείβοιτο, ὡς μηδὲν τέως τῆς πρότερον ȣ̓σίας ἐναπολείπεσθαι, τίθεται μέντοι εἶναι τὰ αὐτά.

Τὸ δὲ ταυτὸν ἐν τȣ́τοις, κατὰ μόνην τὴν τῶν μερῶν ζητητέον διάταξιν, ȣ̓κ ἐκ τῆς ȣ̓σίας, ἣν τροπὴν ὑπομένειν ἔφαμεν. Ἐὰν δὲ μεταβάλλȣσι ταύτῃ ἢ ἡ τάξις συνεκταράττηται, τὸ ταυ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν οἰχήσεται. Καίτοι καὶ τῆς ἐσίας εἰς ταυτὸ μενέσης, διαςραφῆναι ἐπὶ ποσὸν τὴν τάξιν ἐνδέχεται.

Οἶκος ὁ αὐτὸς μένειν νοεῖται, ἐ κατὰ διαδοχὴν πάντα τὰ μέρη ἀνακαινίζεται, ὡς μηδὲν εἶναι τῶν προτέρων ὑπόλοιπον. Καὶ ὡρολόγιον ταυτὸν ὡσαύτως, εἰ λυθέντα αὖθις τὰ μέρη, ὡς τὸ πρὶν εἶχεν ἐπισυνάπτοιτο. Ἀλλ᾽ ἐὰν ἡ μεταβολὴ ἐπὶ τῆς οἰκίας ἐν σμικρῷ τῷ χρόνῳ συμβῇ, ἄτερ διαλείμματος γενέσθαι, καινὸς ὁ οἶκος ῥηθήσεται, ἐ γὰρ κατὰ τὸ αὐτὸ δέον καὶ τὴν ἐσίαν μεταβάλλειν, καὶ τὴν τάξιν διαταράττεσθαι ἅμα. Παραπλησίαν ἐκ διαδοχῆς, τῷ ταυτῷ σωζομένῳ, τροπὴν, καὶ ἐπὶ τῶν ἀνθρωπίνων σωμάτων καὶ ἐπὶ τῶν ἄλλων ζώων, καὶ τῶν φυτῶν συμβαίνειν παρατετήρηται.

§ 72. Εἰσὶν οἳ τῶν τοιῶνδε σωμάτων τὸ ταυτὸν εἶναι ἐν τῷ πρώτως ὑπὸ Θεῷ μορφωθέντι τιθέασι σχεδιάσματι, ὅπερ ἐκ μερῶν προσιόντων κατὰ μικρὸν εἰς μέγεθος ἐπιδίδωσι· ταῦτα μὲν τὰ προσγινόμενα, καὶ ἀπογίνεσθαι, καὶ μεταβάλλειν ὑπολαμβάνοντες, ἐκεῖνα δὲ τὰ τῷ πρώτῳ οἱονεὶ ςήμονες μηδέποτε μηδαμῶς, μήτε κατ᾽ ἐσίαν ἀναιρεῖσθαι, μήτε καθ᾽ ἣν ἔλαχε τάξιν ταράττεσθαι, ὡς ἂν τὸ σῶμα τὸ αὐτὸ μένῃ. Ἀλλ᾽ αὐτοὶ πρὸς τέτῳ μικρόν τι προσέχομεν. Ταυτὸ γὰρ εἶναι τὸ σῶμα φαμὲν, ἐφ᾽ ὅσον ἐν τῶν αἰσθήσει ληπτῶν μορίων ἡ σχέξις, ἥκιςα παραιρεῖται, πρὸς ταύτην μόνην ἀποβλέποντες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 73. Τὴν δὲ τῶν νοερῶν ἐσιῶν ταυτότητα ἀνακρίνοντες, τοῖς ἀνωτέρω (64.) περὶ τῆς τῶν ἐσιῶν ταυτότητος παρατηρηθεῖσιν, ἔςιν ἃ καὶ περὶ τȣ̃ κατὰ τὸ πρόσωπον ταυτȣ̃ προσθήσομεν.

§ 74. Πρόσωπον οἱ Μεταφυσικοὶ καλȣ̃σι, τὴν διωρισμένην Νοερὰν ἐσίαν· τὸ δὲ νοερὸν νοȣ̃σιν, ἐχ ὅπως κατάγε τὴν τῶν ἰδεῶν παράθεσιν, αἳ κατ᾽ ἐνέργειαν νοȣ́μεναι πάρεισι τῷ νῷ, ἀλλὰ καὶ κατὰ τὴν τῶν πρότερον γεναμένων προλήψεων ἀνάμνησιν, ἔτως ὥςε τῇ συνειδήσει τῆς περιέσης ὑπάρξεως, τὴν τῆς παραῤῥευσάσης συνάπτεσθαι.

§ 75. Ἡ τοιάδε μνήμη τὸ ταυτὸν τȣ̃ προσώπȣ κυρίως συνίςησιν, ἧς τεθείσης δηλονότι τὸ αὐτὸ πρόσωπον εἶναι λέγεται, ἀρθείσης δὲ, παραλλάσσεται, κἂν ἡ ἐσία ἡ αὐτὴ διασώζοιτο. Γένοιτο γὰρ ἂν ἐκ νόσȣ, ἢ ἐξ ἄλλης τινὸς ἐπηρείας τῆς μνήμης πάντη τῶν προειλημμένων διεκπεσεῖν τινὰ, ἅτε τόγε νῦν ἔχον διανοεῖται, μηδέντι πλέον πρὸς τὰ ποτὲ αὐτῷ νοηθέντα ἀναφορὰν ἔχειν, ἢ πρὸς ἅτις ἄλλος ἐνεθυμήθη, οἷς αὐτὸς ἐδὲ τὴν ἀρχὴν ἐδόλως ἐπέβαλεν· ὁ γȣ̃ν ἔτω πεπονθὼς ἐδὲν ἔχει κοινὸν ἐπὶ τῆς παρέσης καὶ παρελθȣ́σης νοήσεως. διὸ κἂν μὴ τὴν ἐσίαν, μεταβαλεῖν γε μὴν ἂν ῥηθείη τὸ πρόσωπον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Η'.

### Περὶ Αἰτίας τε καὶ Αἰτιατοῦ.

§ 76. Τὰ πράγματα ὅσ' ὧραι τρεπόμενα καθορῶντες, καὶ ταῦτα ὡς ἀρχὴν εἰλήφασι ποτὲ διανοούμενοι, τὴν ἰδέαν οὕτω τῆς αἰτίας, καὶ τοῦ αἰτιατοῦ πορίζόμεθα.

§ 77. Αἰτίαν καλοῦμεν, πᾶν ὃ τῇ δυδυνάμει τὶ ἐςὶ· τὸ δὲ τῇ δυνάμει τῆς αἰτίας ὄν, αἰτιατὸν ὀνομάζομεν.

§ 78. Πᾶν ὅ,τι ἐςὶ, κἂν οὐσία τοῦτο ᾖ, κἂν οὐσίας τρόπος, κἂν σχέσις, ἐν γένει, τὸ οὐχὶ μηδὲν ὄν, ἤτοι ἀρχὴν εἰληφὸς ἐςὶν, ἢ οὐχί.

§ 79. Τὸ ἀρχὴν μηδαμῶς ἐσχηκὸς, ἢ ἀφ' ἑαυτοῦ ἐςὶν, ἢ παρ' ἄλλου γεγονός· ἀλλὰ τὸ παρ' ἄλλου γεγονέναι, παρ' ἄλλου ἐςὶ τὴν ἀρχὴν εἰληφέναι· τὸ γὰρ γεγονέναι μεταβῆναι ἐςὶν ἀπὸ τοῦ μὴ εἶναι ἐπὶ τὸ εἶναι· τὸ ἄρα ἀρχὴν μὴ ἐσχηκὸς, ἀφ' ἑαυτοῦ ὄν ἐςὶ, καὶ ἐν ἑαυτῷ κυρίως ἐμπεριείληφε τὴν ἀρχὴν τῆς ἰδίας ὑπάρξεως καὶ ἐςὶν οὕτως, ὡς ἀδύνατον εἶναι μὴ εἶναι.

§ 80. Τῆς δὲ προτάσεως, καὶ ἡ ἀντιςρέφουσα ἀληθεύει. Πᾶν τὸ ἐν ἑαυτῷ τῆς ἰδίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῦ ὑπάρξεως τὴν ἀρχὴν ἔχον, ἀρχῆς ἐπέκεινα ἐςίν. Εἰ γὰρ ἀρχὴν εἶχεν, ἦν ἂν παραίτιον τῆς ἰδίας ἀρχῆς, ἐνήργησε τε πρὶν εἶναι· ὥςε παρῆγεν ἂν ἔτω τὶ τὸ μηδὲν, τῦτέςι το μηδὲν ἦν ἄν τι.

§ 81. Ἐκ τέτυ ἐπιφέρομεν, ὅτι πᾶν τὸ μὴ ἀφ᾽ ἑαυτῦ ὄν, ἀρχὴν ἔχει. Καὶ πᾶν τὸ ἀρχὴν ἔχον, ἀπὸ ἐξωτερικῆς αἰτίας τὸ εἶναι ἔχε.

Αἰτιῶν δὲ εἴδη ποικίλα τοῖς Μεταφυσικοῖς εἰσάγεται.

§ 82. Τὰς μὲν γὰρ αἰτίας ὑλικὰς εἶναι φασὶ, τὰς δ᾽ εἰδικὰς, προκαταρκτικὰς, ὀργανικὰς, ποιητικὰς, παρορμητικὰς, τελικάς. Καὶ ἡ μὲν αἰτία προσεχὴς, ἡ δὲ πόῤῥω, πρώτη, ἢ δευτέρα. Ἐσωτερικὴ, ἢ ἐξωτερικὴ, ἔμμονος ἢ μεταβατική· καθ᾽ αὑτὸ, ἢ κατὰ συμβεβηκὸς· συνώνυμος, ἢ ὁμώνυμος· Δημιεργὸς, ἢ συνεκτικὴ, ἐλευθέρα, ἢ κατηναγκασμένη κξ. κξ:

Ἀλυσιτελὲς ἐςὶ τὸ πλείω ἔτι διαιρέσεις συνείρειν· ἀλυσιτελὲς δὲ ἔτι καὶ μᾶλλον ἐκεῖνα προσεκτιθέναι ἐπιχειρεῖν, ἃ περὶ τέτων ἁπάντων εἰώθασι πραγματεύεσθαι. Τέτων βραχέα, τὰ γενικώτερα μόνος ἐκθήσομαι, ὅσα εἰς λύσιν τῶν ἀξιολογωτέρων ζητημάτων, μείζονα ῥοπὴν ἔχειν ἔοικε.

§ 83. Διακρίνῦσι δὴ τὴν αἰτίαν τῦ ὅπερ ὑκ ἄνευ, ἤτοι τῦ εἰς ἐνέργειαν προαπαιτυμένυ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰτία μὲν γὰρ κυρίως ἐν ᾗ ἐνθεωρεῖται τὸ εἰς παραγωγὴν τοῦ ἀποτελέσματος ἐνεργόν τε καὶ δραστήριον· τὸ δ' εἰς ἐκτέλεσιν ἀπαιτούμενον, ἐστὶν οὗ οὐκ ἂν ἄνευ τὸ αἰτιατὸν ἡ αἰτία προβάλλοιτο, κἂν μηδεμία τῷ τοιᾷδε ἐνείη δραστήριος δύναμις· οἷον καταφερομένου τοῦ λίθου, αἰτία ἡ βαρύτης ἐστὶ τῆς ἐπὶ τὰ κάτω φορᾶς· καταχθῆναι δ' οὐκ ἂν ἔχοι ὁ λίθος εἰ μὴ καθ' ἑαυτὸν ἀφεθείη, καὶ τοῦτο ἐστὶ τῶν οὐκ ἄνευ λεγομένων ἐπιζητούμενον.

§ 84. Διὰ ταύτης μέντοι γε τῆς διαιρέσεως, δυσχερεστέρα καθίσταται ἡ τῆς αἰτίας ἔννοια, οὐ γὰρ εὐπετὲς ἀεὶ, τὴν αἰτίαν, τοῦ οὗπερ οὐκ ἄνευ ἀντιδιαστεῖλαι. Ἀλλὰ καὶ τῆς διαιρέσεως συγχωρηθείσης, τοῦ οὗπερ οὐκ ἄνευ ἀπόντος, ἡ αἰτία ἀσθενὴς, καὶ καταχρηστικώτερον τὸ τῆς αἰτίας ὄνομα ἔχουσα.

§ 85. Ἔνθα οὖν σαφῶς ἔχει τὸ ἀπαιτούμενον διακρίνεσθαι ἀπὸ τοῦ ἐν ᾧπερ ἡ δύναμις, τοῦτο δὴ τὸ τῆς δυνάμεως εὐμοιροῦν **ποιητικόν** τε καὶ **ἐνεργὸν** ἀποκαλέσομαι.

§ 86. **Πάσχον** δὲ καλεῖται, τὸ ὑπὸ τῆς αἰτίας μεταβάλλον ἐπειδὰν τὸ αἰτιατὸν παράγεται, ἢ περὶ ὃ καταγίνεται τὸ τοῦ ἐνεργοῦντος δραστήριον.

§ 87. **Δυνάμενον** δὲ λέγεται τὸ ποιοῦν, ἐπειδὰν εἰς τὴν ὑπ' αὐτοῦ παραγωγὴν τοῦ ἀποτελέσματος, μόνον τὸ ἐπιζητούμενον ἄπεστιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 88. Ἐπὶ δὲ τὴν κυρίως λεγομένην αἰτίαν ἀνάγομεν πάνθ' ὅσα πρὸς τὸ ἀποτέλεσμα ἐστὶ συμπράττοντα, ὅτε καὶ ἀναγκαίως τοῦτο παράγεται. Εἰμὴ γὰρ, ἀπῆν ἄρα τι τῶν πρὸς τὸ αὐτὸ εἶναι ἐπιζητουμένων. Ἀλλ' αἰτίαν αὐτοὶ πάντα ἅμα τὰ ἐπιζητούμενα ἀθρόως τυγχάνειν φαμέν.

§ 89. Τὸ δ' ἀποτέλεσμα μὴ γίνεσθαι, μὴ πάντων τῶν εἰς τὴν παραγωγὴν ἀπαιτουμένων την τούτου, εἰς ταυτὸ συνεληλυθότων, φανερόν. Οὐδὲν γὰρ τρανώτερον ἂν ἀποδείξειε τοῦ ταῦτα παρεῖναι, ἢ αὐτὸ τοῦτο τὸ ἀποτέλεσμα.

§ 90. Ἅπαν ἄρα ἀποτέλεσμα, αἰτίαν ἔχει τινὰ, ἧσπερ ἐξ ἀνάγκης ἀπήρτηται. Ἡ δ' ἀνάγκη διαφέρουσα ἐστὶ κατὰ τὴν διαφορὰν τῆς φύσεως τοῦ ὑποκειμένου.

§ 91. Ἡ δ' ἀπόδειξις αὕτη, σαφής τε καὶ ἁπλουστάτη. Ἕπεται δὲ ἐκ τούτου, μηδεμίαν εἶναι αἰτίαν ἀδιάφορον, δυναμένην τε καὶ μὴ δυναμένην τ' ἀποτέλεσμα προβαλέσθαι. Τὸ γὰρ προβαλέσθαι τ' ἀποτέλεσμα, καὶ μὴ, διαφορὰν ἔχει, καὶ δεῖ παρεῖναι αἰτίαν, δι' ἣν, τοῦτὶ μᾶλλον, ἢ θάτερον γίνεται (88).

§ 92. Τήν γε μὴν ἐλευθέραν αἰτίαν, τοιάνδε εἶναι πολλοὶ διατείνονται. Ἀλλὰ γὰρ τῆς δυνάμεως τὴν αἰτίαν οὗτοι ἥκιστα διακρίνουσιν· ἐν γὰρ τῇ αἰτίᾳ πάντα συμπεριλαμβάνεται τὰ ἐπιζητούμενα, ὧν τεθέντων τὸ αἰτιατὸν ἕπεται (88).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 93. Ἀλλ' ἐν εἴδει τὰ περὶ τῆς ἐλευθέρας καλεμένης αἰτίας θεωρέμενα, ἄλλης ἐςὶ πραγματείας· ἤδη δὲ περὶ ἐκείνων ὑπομνηςέον, ἃ κατὰ πάσης αἰτίας δύναται λέγεσθαι.

Οὐδ' ἐκ τῶν ἀπὸ τύχης, ἢ ταυτομάτε λεγομένων συμβαίνειν, ἀπορία τις ἂν ἀνακύψειεν. Οὐδὲν γὰρ τυχηρὸν, ἐδὲν αὐτόματον ἐςὶν, ὅ,τι μὴ κατὰ σχέσιν πρὸς τὴν ἡμῶν αὐτῶν ἄγνοιαν.

§ 94. Οὔτε μὴν ἐκ τῶν εἰρημένων ἐν γένει ἐπακτέον ἂν εἴη, αἰτίαν εἶναι, ἧς τεθείσης τὸ ἀποτέλεσμα τίθεται. Ἐὰν ἀποτελέσματα δύο ἐκ τῆς αὐτῆς αἰτίας ἠρτημένα ᾖ, θατέρε δήπε τεθέντος, καὶ θάτερον τίθεται, θάτερον ὅμως θατέρε ἐκ ἔςιν αἴτιον. Ὡς ἐπὶ τε πυροτηλεβόλε τῆς πυρίτιδος ἐξαφθείσης κόνιος, ἡ βολὶς σὺν βίᾳ κινεῖται, καὶ ψόφος ἐξακέεται. Θατέρε τε δοθέντος, καὶ θάτερον γίνεται.

Ἐπὶ τῶν τοιέτων ἀλλ' ἕν ἐνίοτε, θάτερον ὡς θατέρε αἰτία κρίνεται, εἰ καὶ καταχρηςικῶς, οἷον ἐπὶ τῆς τρυτάνης ταρασσομένης, ἡ θατέρε τῶν βραχιόνων κάθοδος, τῆς ἀνόδε θατέρε παραίτιος τίθεται· ὅπερ ἐπὶ τῆς ἀντιῤῥοπίας ἐκ ἀεὶ ἀληθές.

§ 95. Ἐκ δὴ τῶν εἰρημένων ἕπεται, ὅτι τὸ τε αἰτίε αἴτιον, ἢ αὐτε τε αἰτιατε αἴτιον ἐςίν. Α αἰτία, Β αἰτιατὸν, ἢ Β αὖθις αἰτία καὶ Γ αἰτιατόν· φημὶ δὴ τὴν Α, αἰτίαν εἶναι καὶ τε Γ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τεθέντος τȣ̃ Α, ἀναγκαίως τίθεται τὸ Β (88)· καὶ τὸ Β ὁμοίως ἐξ ἀνάγκης παράγει τὸ Γ. Ἄρα τεθέντος τȣ̃ Α, τὰ ἐπιζητȣ́μενα τίθεται, εἰς τὸ ἀναγκαίως τὸ Γ παραχθῆναι, διὸ καὶ τȣ́τȣ αἰτία ἐςὶν (88).

§ 96. Κοινῇ δῆλος ὁ περὶ τῶν αἰτιῶν κανὼν, τὸ μὴ τὴν ἐπ' ἄπειρον δηλονότι τῶν αἰτιῶν δίδοσθαι πρόοδον. Καὶ ἐςὶ δήπȣ ὁ κανὼν ἀληθέςατος, εἰ καὶ ὑπὲρ ἀριθμὸν οἱ ἀπὸ τῶν μαθημάτων ἴσασι τὰς ἀπείρȣς προόδȣς, τὰς ἐξ ὅρων συγκειμένας, ὧν ὁ ἐφεξῆς κατά τινα λόγον, ἐκ τȣ̃ ἡγȣμένȣ ἐπιφέρεται. Ἀλλ' ȣ̉χ ὡσαύτως οἱ Μαθηματικοί τε καὶ οἱ Μεταφυσικοὶ τὸ ἄπειρον ὑπογράφȣσι· τοῖς μὲν γὰρ μόνον ἄπειρον λέγεται, ȣ̃ μεῖζον ȣ̉ δίδοται, τȣτέςι τὸ ἀναυξὲς, καὶ τοιȣ́δε δὴ μὴ δύνασθαι εἶναι αἰτιῶν πρόοδον ἐςὶ κατάδηλον· Ἡ γὰρ ἐςχάτη αἰτία, τὸ αἰτιατὸν παράγȣσα, αὐξήσειεν ἂν τὴν πρόοδον· οἱ δὲ Μαθηματικοὶ ἄπειρον καλȣ̃σι, πᾶν τὸ ὑπερέχον τὸ πεπερασμένον, τȣτέςι τὸ τȣ̃ καταμετρητȣ̃ ἢ ἀριθμητȣ̃ ἐπέκεινα γινόμενον.

§ 97. Ἀλλ' οἱ ὑπὲρ τȣ̃ κανόνος τȣ̃δε ἱςάμενοι, ὡς καὶ οἱ τȣ̉ναντίον δογματίζοντες ȣ̉δὲν ἧττον, τῇ ἀρχῇ τῆς προόδȣ προσέχȣσι. Καθ' ὃν δήπȣ λόγον, κατὰ τὴν τῶν Μεταφυσικῶν ἐκδοχὴν, τὴν ἐς ἄπειρον μὴ δίδοσθαι πρόοδον ὁ ἀληθής τε καὶ γνήσιος τȣ̃ κανόνος τυγχάνει νȣ̃ς. Τȣ̃το δὲ ἐςὶν, ὡς ἄν τις ἄλλως ἐκφράσειεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀυδεμίαν αἰτιῶν πρόοδον δίδοσθαι, ἀρχῆς ἄνευ. Ἀλλ᾽ ἐν ἑκάστῃ, εἶναι τινὰ ὅρον πρώτιστον. Καὶ τοῦτο ἐξ αὐτῆς τῆς φύσεως τῆς προόδου ὀρθῶς ἐπιφέρεται.

§ 98. Πᾶν ὅ,τι ἐστὶ, καθ᾽ ὃν δήποτ᾽ ἂν χρόνον θεωροῖτο, ἐστὶν ἀρισμένως αὐτὸ ὅπερ ἐστίν. (6) Οὐ γὰρ δὴ τοῦτο, ἢ ἐκεῖνο. Τὸ ἄρα ἀφ᾽ ἑαυτοῦ ὂν, διωρισμένως πως ἐστὶν ἀφ᾽ ἑαυτοῦ, καὶ διορισμένον τι ἐστὶν, οὐ γὰρ ἔχει μὴ εἶναι (97). Ἐὰν γὰρ μεταβολὴν πάσχον ὑποτεθῇ, οὐκ ἔσται περαιτέρω τὸ αὐτὸ διωρισμένοντι. Τοῦτο γὰρ οὐ δύναται μὴ εἶναι, καὶ ἡ μεταβολὴ ἐν αὐτῷ ἀδύνατος.

§ 99. Τὸ ἄρα ἀφ᾽ ἑαυτοῦ ὂν μεταβολῆς κρεῖττον ἐστίν. Ἐὰν αὐτὸ μεταβάλλον νοήσωμεν, αὐτίκα τὸ τῆς μεταβολῆς οἰχήσεται, οἴχεται γὰρ τὸ μεταβάλλον, καὶ οὗπερ ἕτερον ἀντικαθίσταται. Ἀλλὰ γὰρ οἴχεσθαι οὐ δύναται, ὃ οὐ δύναται μηδαμῶς εἶναι.

§ 100. Ἐν οἱαδήποτε αἰτιῶν προόδῳ, συνεχής τις δίδοται μεταβολή. Ἡ ἄρα πρόοδος αὐτὴ ἀφ᾽ ἑαυτῆς οὐκ ἔστι, καὶ ἀρχὴν ἔχει (79).

§ 101. Ὁ δ᾽ ἕτερος κανὼν, ὁ οὐδὲν ἧττον τοῖς πᾶσι δῆλος, οὗτος ἐστὶ, τὸ μηδὲν δηλονότι ἐν τῷ αἰτιατῷ εἶναι, ὅπερ αὐτὸ μὴ προενείη ἐν τῷ αἰτίῳ· ὅπερ οὐχ οὕτω νοη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέον, ὡς εἴπερ ἀεὶ τὰ ἐν τοῖς αἰτιατοῖς τὸν αὐτὸν προενυπῆρχε τρόπον προενόντα ἐν τοῖς αἰτίοις, ὃ καλȢσιν εἰδικῶς ἐμπεριέχεσθαι, ἀλλ᾽ ἔχει ἄλλως, εἰ ἐν τῷ αἰτίῳ προενὸν ἐςὶ, τὸ πρὸς τὴν τȢ αἰτιατȢ παραγωγὴν ἀπαιτȢμενον. Οὕτως ὁ κανὼν νοȢμενος, ἀληθεύων ἐν γένει ἐςὶ. Μανθάνομεν ἀλλ᾽ Ȣ̃ν δι᾽ αὐτȢ περιττὸν Ȣδὲν· τὶς γὰρ ἂν ἀγνοήσειεν, ὡς ἡ αἰτία αὐτὸ τȢ̃το αἰτία ἐςὶ. Ἀλλ᾽ Ȣδὲ πολλῆς ἐςὶν ἄλλως ὁ κανὼν Ȣ̃τος χρήσεως.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΒΙΒΛΙΟΝ Α΄.

## ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ

### ΜΕΡΟΣ Β΄.

### ΠΕΡΙ ΤΗΣ ΑΝΘΡΩΠΟΥ ΨΥΧΗΣ

### ΚΕΦΑΛΑΙΟΝ Θ΄.

### Περὶ Νοήσεως ἐν γένει.

§ 102. Ἀναπτυχθέντων ἤδη τῶν γενικώτατα τοῖς οὖσι προσανηκόντων, δέον εἶναι ἐφεξῆς καὶ περὶ τῆς ψυχῆς θεωρῆσαι ἔφημεν προσεσημειωκότες, πρὶν ἢ ἐπὶ τὰ πρὸς τὴν αὐτῆς τείνοντα διευθέτησιν μεταβῆναι, οἷς ἂν εἰς τὴν τῶν ὄντων γνῶσιν διεξάγοιτο.

§ 103. Ἡ ψυχὴ ἡ ἐν ἡμῖν νοεῖ, τουτέστι προλήψεις ἔχει τινὰς, καὶ ταύτας ἀλλήλαις παραβάλλει. Ὅσα γοῦν ἐκ τοῦδε ἕπεται τοῦ ἰδιώματος, ἁπάσῃ νοερᾷ οὐσίᾳ ἀπονέμεσθαι δύναται.

§ 104. Αἱ μὲν ἰδέαι πολλαί εἰσιν· ἄνευ δὲ μνήμης, ἡ πρὸς ἀλλήλας τούτων παράθεσις οὐκ ἂν γένοιτο· διὸ μνήμης ἄνευ, οὐδ᾽ ἡ κατὰ τὸν συλλογισμὸν διανόησις ἐκπεραίνοιτο. Ἐνιζοιμοί τι νοερὸν ὂν, τὸ μηδεμίαν κατὰ τὸ δοκοῦν μηδὲ σώζειν παροῦσαν, μηδὲ ἀποῦσαν, ἐξ ὧν πρὶν ἔχεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνακαλεῖν ἰδέαν δυνάμενον, καὶ ἐπισήμου τινὸς ἀνοίας ἕξεις ἐπίνοιαν.

§ 105. Οἷασοῦν προλήψεως, ἡ τῆς προλήψεως αὐτῆς συνείδησις ἐστὶν ἀδιάζευκτος. Νοοῦντι γὰρ ἑαυτῷ συνειδὼς ἐστὶν ὁ νοῶν, καὶ ἅμα, καὶ τὴν ἰδίαν ἑαυτοῦ ὕπαρξιν συνεπιγιγνώσκων.

§ 106. Ἐννοεῖ δ' ἑαυτὸν, καὶ ποιᾶς πως ἔχοντα, τοῦθ' ὃ καλοῦμεν τὴν τοῦ ὑπάρχειν κατάστασιν.

§ 107. Δισσὰς δὲ καταστάσεις, ὧν φέρει τὰς ἰδέας, ἀλλήλαις ἔχει παραβάλλειν, καὶ τῆς ἑτέρας τὴν ἑτέραν προτέραν τιθέναι οὕτως ὥστε, εἴπερ ἐν τῇ καταστάσει γένοιτο, ἣν προτέραν τίθησι, βούλεσθ' ἂν ἐν αὐτῇ καὶ μένειν, κἂν εἰ ἐπὶ θατέραν παρ' αὐτῷ ἢ μεταβῆναι, ἢ ἐπὶ θατέραν μεταβῆναι, εἰ τὴν ἑτέραν ταύτην προέλοιτο.

§ 108. Τὸ γοῦν βούλεσθαι, ἐνέργεια διανοίας ἐστὶ, δι' ἧς κατάστασις καταστάσεως προτέρα τίθεται. Οὐδὲν παρὰ τοῦτο εἶναι τὸν τῆς βουλήσεως διορισμὸν, τῷ μετὰ προσοχῆς τὸ πρᾶγμα διασκεπτομένῳ συνιδεῖν ῥᾴδιον.

§ 109. Ἐθέλω τι τῶν ἐκτὸς ἐμοῦ οὕτως, ἢ ἄλλως ἔχειν, εἴτε τι μέγα, εἴτε καὶ τῶν μὴ πάνυ τι διαφερόντων τοῦτο ᾖ. Καὶ εἴποι ἂν τις ἄλλως πως τοῦτο ἐκφράσας, μηδὲν, ἀλλ' ἢ τὴν τοῦ ὑπάρχειν κατάστασιν προαιρεῖσθαί με, καθ' ἣν μοι ἡ ἰδέα παρέσται τοῦ οὕτως ἔχειν τὸ πρᾶγμα, πρὸ τῆς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρέσης καταςάσεως ἐν ᾗ ἡ ἰδέα μοι πάρεςι τȣ̃ ἄλλως ἔχειν.

§ 110. Καὶ ταύτη γε δὴ, ἥπερ ἑτέραν πρὸ ἑτέρας τὸ νοεῖν πεφυκὸς ἀνθαιρεῖται κατάςασιν, εὐδαιμονίας ἢ ἀθλιότητος ἐςὶν ἐπιδεκτικός.

§ 111. Περὶ τȣ́των ȣ̃ν τὰ πλεῖςα σχετικῶς πως ἐν ἀνθρώποις γίνεται λόγος, καὶ κατάςασιν καλȣ̃σι κακοδαίμονος, ἐν ᾗ τις μᾶλλον εὐδαιμόνως ἂν ἔχοι, εἰ μὴ τῷ μᾶλλον εὐδαίμονι παραβάλλοιτο.

§ 112. Εἴ τις ἀσχέτως περὶ τȣ́των ἐθέλοι φθέγγεσθαι, εὐδαίμονα μὲν ὡς εἰκὸς τὴν κατάςασιν καλέσειεν, ἣν ἄντις ἀντὶ τȣ̃ μηδαμῶς ὑπάρχειν ἀνθέλοιτο, κακοδαίμονα δὲ ἧς ἐκ τȣ̃ ἐναντίȣ τὸ μὴ ὑπάρχειν.

Ποτνιῶνται δὴ πολλάκις οἱ ἄνθρωποι ἀθλίȣς σφᾶς αὐτȣ̀ς εἶναι κράζοντες, καί τοι τὸ ὑπάρχειν, ἐν ᾧ ȣ̃τως ἔχȣσι, πρὸ τȣ̃ μὴ εἶναι ἡδέως αἱρȣ́μενοι. Ἀλλὰ γὰρ τηνικαῦτα, ἤτοι κακοδαιμόνως φασὶν ἔχειν, ὡς ἧττον εὐδαιμόνως διάγοντες, ᾗ πολλάκις συμβαίνει, ὡς εἴρηται, ἢ γȣ̃ν τῇ ἰδέᾳ τῆς παρȣ́σης καταςάσεως, τὴν τῆς ἑξῆς παρασυνάπτȣσι τῆς προσδοκωμένης, ὅτε καὶ κακοδαίμονα τὴν κατά γε τὸ νῦν ἔχον κατάςασιν κρίνοντες, ὀυχ ȣ̃τως ἀλλ᾽ ȣ̃ν καὶ νομίζȣσι, τῇ τȣ̃ μέλλοντος προσδοκίᾳ ταύτην οἷον παραμυθȣ́μενοι. Ἀθλιότητος γὰρ παρȣ́σης, τίς ȣ̓κ ἂν ὑποκλέψαι ὕπνῳ τὴν αἴσθησιν ἕλοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

το; Καὶ μὴν τὸν βαθὺν ὕπνον, ἐ πάνυ πόῤῥω τις τῆς ἀνυπάρξεως ἂν θήσειεν.

§ 113. Ἐκ τέτων ἐν ἕπεται, ὡς ὁ τῦ εὐδαιμονεῖν ἔρως, παντὸς διορισμῦ τῆς θελήσεως τυγχάνει παραίτιος· τὸ γὰρ νοῦν, ὡς εἴδομεν ( 101 ) τῆς ἰδίας ὑπάρξεως ἔχει συναίσθησιν, ἢ δυεῖν καταστάσεων τῦ ὑπάρχειν, ἂν ἄν πρὸς ἀλλήλας παραβάλοι, θατέραν πρὸ τῆς ἑτέρας αἱρεῖσθαι δύναται ( 107 ), τετέστιν εἰς λόγον εὐδαιμονίας τίθεσθαι κρείττονα ( 110 ). Τὸ δ' ἀνθαιρεῖσθαι, ἐδὲν ἤ τὴν θέλησιν πρός τι διορίζειν ἐστὶ, καὶ ἐδεὶς παρὰ τῦτον ἄλλος ἂν εἴη ὁ τῆς θελήσεως διορισμὸς ( 108 ), τὸ ἄρα **πρός τι τὴν θέλησιν διορίζειν, αὐτὸ τὸ τὴν τῦ εἶναι κατάστασιν, τὴν εὐδαιμονεστέραν δοκῦσαν, αἱρεῖσθαι ἐστὶν, ἄλλο δ' ἐδέν.**

§ 114. Πολλάκις ἀλλ' ἐν περὶ τὴν εὐδαιμονίαν οἱ ἄνθρωποι πεφύκασι παρακρέεσθαι, εἰς ἀπάτας παντοίας ὑποσυρόμενοι, ἐξ ὧν τὰ δεινὰ πάντα, ὧν αὐτοὶ ἑαυτοῖς καθίστανται πρόξενοι.

Ταῦτα πάντα ἐξ αὐτῆς τῆς νοερᾶς ἕπεται φύσεως, καὶ ἐν τῷ νοῦντι ἐκ ἂν ἄλλως ἔχοι, μὴ αὐτῆς τῆς τῦ νοεῖν ἀναιρεμένης δυνάμεως.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

## Περὶ Ἐλευθερίας.

Περὶ τῆς νοήσεως καθ' ἑαυτὴν διελθόντες, ἤδη τῇ νοητικῇ δυνάμει τὸ ἐλεύθερον περιεῖναι τιθέμεθα.

§ 115. **Ἐλευθερίαν καλοῦμεν τὴν δύναμιν τοῦ ποιεῖν τὸ παριστάμενον, ὁποῖος δήποτ' ἂν ᾖ ὁ τῆς θελήσεως διορισμός.**

Ἔστιν ἥντινα νύξιν περὶ τῆς τοιᾶσδε παρέχον δυνάμεως· ἐὰν ἓν ὑποθετικῶς συγχωρηθῇ, περὶ ταύτης αὐτῆς, ᾗ συγχωρεῖται ὁ λόγος.

§ 116. Ὑποτίθησιν ἓν ἡ ἐλευθερία τὴν τοῦ ποιεῖν δύναμιν τοιαύτην ἀλλ' ἕν, οἵαν ἄνευ τοῦ διορισμοῦ τῆς θελήσεως, μηδὲν παράγειν ἀποτέλεσμα. Ταύτην τὴν τοῦ νοεροῦ ὄντος δύναμιν, Φυσικὴν καλοῦμεν· ἐν δὲ τῇ χρήσει τῆς ἐλευθερίας ἐστὶ περαιτέρω, ἡ μεταξὺ δυοῖν ἢ πλειόνων αἵρεσις.

§ 117. Θεῷ μόνῳ τὸ ἐλεύθερον ἀπολύτως καὶ ὑπερτελῶς πρόσεστι· τῆς δὲ δημιουργητῆς Φύσεως, πεπέρασται ἡ ἐλευθερία, σχέσιν ἀείποτε καὶ ἀναφορὰν τινα πρὸς τὰ ἐν μέρει συμβαίνοντα ἔχουσα. Οὐ γὰρ ἡ δύναμις ἐφαπλοῦται πρὸς ἅπαντα.

§ 118. Ὁλοσχερὴς ἔσται ἡ ἐλευθέρια, ἐὰν ἡ Φύσει περιοῦσα δύναμις ἅπασιν ἐφήκῃ, ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἷς τε καὶ περὶ ἃ ἡ αἵρεσις. Βελευομένῳ περὶ μονῆς, ἢ ἐξόδε, ἐπειδὰν ἦτε θύρα ἠνέῳκται, καὶ ἐδενὸς ἐνδεῖ τῶν πρὸς τὴν ἔξοδον, ὁλοχερὴς ἡ ἐλευθερία, καὶ ἀκέραιος· ᾗ μένοντι τότε τὸ παριςάμενον τελεῖται, ᾗ τὸ ἐλεύθερον σώζεται. Ἐξῆν γὰρ δηλαδὴ βεληθέντι προϊέναι.

§ 119. Εἴπερ δὲ κατ᾽ αὐτὴν τὴν βελὴν ἡ θύρα ἐκέκλειςο, ἣν αὐτὸς ἠνεῶχθαι ἐδόκει, ἐλεύθερος εἴς γε τὴν ἔξοδον ἥκιςα ἦν. Ἑκὼν μὲν γὰρ ἔμεινα, ἐποίησάτε τὸ παριςάμενον, ἀλλ᾽ ἡ δύναμις τε ἐξιέναι θελήσαντι ἂν ὃ παρῆν, καὶ ταύτῃ γ᾽ οἴχεται τὸ ἐλεύθερον· τὸ γὰρ ἑκὸν εἶναι μόνον μὴ ἅλις ἔχειν πρὸς ἐλευθερίαν, φανερόν.

§ 120. Συμβαίνει δέ τι ᾗ μεταξὺ τέτων, ἐν ᾧ τις ἐλευθερία κεῖται μὲν, ἐκ ἀκέραιος δὲ. Τὸ δὲ χώραν ἔχει ἐφ᾽ ὧν, ἐν ᾧ τις μεταξὺ πλειόνων ἐφίησι τὴν αἵρεσιν, ἡ φυσικὴ δύναμις ἐπ᾽ ἐνίων ἀποδεῖ. Οἷον μεταξὺ τριῶν αἱρεμένῳ, ᾗ περὶ μόνα τὰ δύο δύναμιν ἔχοντι, ἡ ἐλευθερία ἐκ ἔςιν ὁλοχερὴς, καίτοι ἄλλως ἡ θέλησις, κατὰ θάτερον ὧν ἔχει τὴν δύναμιν διορίζεται. Ἦν δ᾽ ἂν ἀκεραία, εἰ βελευομένε τοῖς δυσὶ μόνοις ὁ νὲς προσεῖχεν, ὧν εἶχε τὴν δύναμιν.

§ 121. Ἐπειδὰν δὲ τὸ νὲν ἔχον κατὰ πρόθεσιν ἐνεργῆσαι ἀπείργεται τῆς οἰκείας θελήσεως, βίαν λέγεται πάσχειν, βιάζεται γὰρ ὃς ποιεῖν ἐκ ἔχει ὃ βέλεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

§ 122. Ἡ δὲ βία ἐπ' εὐθείας τῷ ἑκουσίῳ ἀντίκειται, μόνη γὰρ ἐκείνη τοῦτο ἐπὶ τῶν πράξεων ἀναιρεῖ, τῶν ἐκ προθέσεως τοῦ βελτικοῦ ἠρτημένων.

§ 123. Ἀλλ' οὐχ ὡσαύτως ἡ βία πρὸς τὸ ἐλεύθερον ἀπομάχεται. Ἀναιρεῖ μὲν γὰρ αὐτὴ ἐπαγομένη τὸ ἐλεύθερον, τοῦτο γε μὴν, κἀκείνης ἄνευ, ἀπεῖναι δύνασθαι, σωζομένου τοῦ ἑκουσίου συνείδομεν (119).

§ 124. Συμβαίνει πολλάκις, ἐπὶ τῆς μεταξὺ δυοῖν ἢ πλειόνων αἱρέσεως τινὸς, διορίζεσθαι ἡμῶν τὴν θέλησιν, πρὸς ὅπερ ἀδυνατοῦμεν. Ἐὰν οὖν ἐκ τῶν λοιπῶν τηνικαῦτα, ἕν τι ἑλώμεθα, ποιήσομεν μὲν ὃ θέλομεν, τό γε μὴν ἐλεύθερον ἐν τούτῳ μόνον κατὰ σχέσιν ἔσται· ἡ δὲ βία ἀπόλυτος, ῥοπὴν γὰρ ἔχεν ἡμῶν ἡ ψυχὴ πρὸς ὅπερ οὐ δυνάμεθα. Ἔνι δὲ τοῦτο περιϊστάμενον ἀεὶ κατιδεῖν, ἐφ' οἷς δυοῖν κακῶν προκειμένων, τὸ ἧττον αἱρούμεθα· ἀεὶ γὰρ πρὸς ἐκφυγὴν ἑκατέρου, ῥέπει ἡ θέλησις.

§ 125. Καὶ τὴν ἀνάγκην δὲ τῇ ἐλευθερίᾳ ἀντιβαίνειν πολλοὶ διατείνονται, ὃ περὶ μὲν τῆς φυσικῆς, ἢ τῆς καθ' εἱμαρμένην ἀνάγκης νοούμενον, ἀληθὲς, οὐ μὴν δὲ καὶ τῇ κατ' ἦθος ἀνάγκῃ προσαρμοστέον, ἣ μονη παροῦσα, ἐπὶ μόνοις τοῖς ἐνδεχομένοις συμβαίνει, καὶ τὸ ἐλεύθερον διασώζει ἀδιαλώβητον καὶ ἀπαραμείωτον.

§ 126. Ἐπὶ τοῦ ἀνωτέρου παραδείγματος (50), τοῦ περὶ τῆς ἠθικῆς ἀνάγκης προτε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέντος, ἀκέραιον μὲν τὸ τῆς ἐλευθερίας δίδοται, ᾗ τἐναντίον ἀδυνάτως ἔχει. Τίς γαρ ἐχ ὁμολογήσει τὸν σοφὸν, καί τοι ἐλευθέρως πράττοντα, ἐξ ἀνάγκης ὅμως πράττειν σοφῶς;

§ 127. Καὶ ἐν γένει δὲ, λίαν σαφὲς, διορισμὸν μηδένα δίδοθαι αἰτίας ἄνευ (90). Ζητεῖται δε ὁ λόγος δι' ὃν πρὸς τῦτο μᾶλλον, ἢ πρὸς ἐκεῖνο ἡ θέλησις τρέπεται. Οὐ γὰρ ἔχει μὴ διορισθῆναι πρὸς τὸ φαινόμενον ἄριςον (115). Εἰ γὰρ συμβῆ τινα ἄλλως ἑαυτὸν διορίσαι, ἵνα δὴ δόξῃ, ὡς ἐκ ἀεὶ τῷδε τῷ νόμῳ πειθαρχεῖ τόγε νῦν ἔχον, αὐτὸ δὴ τῦτο ἄριςον δοκεῖ τῷ τοιέτω, διὰ τῦ τοιῦδε ὑποδείγματος, τῶν ἀντιδοξέντων αὐτόθεν τὸν ἔλεγχον παραχεῖν· ὥςε αὐταναίρετον τἐπιχείρημα.

§ 128. Ἐφ' ὅσον ἡ ψυχὴ βελεύεται, ἐδεὶς διορισμὸς ἐγχωρεῖ· ἐπειδὰν δὲ τὸ μὲν αἱρεῖται, τὸ δὲ φεύγει, ἐκ ἄνευ αἰτίας ἐκεῖνο ἀνθαιρεῖται πρὸ τέτε· ὃ γὰρ αἱρετὸν δοκεῖ, ἐκ ἂν κατὰ τὸ αὐτὸ καὶ μὴ αἱρετὸν εἶναι δόξειεν. Εἰ δέ τις ὑπολαβὼν εἴποι, ὡς αἱρετὸν ἔδοξε, μόνον παρὰ τὸ τὴν ψυχὴν αὐτὸ ἐθελῆσαι, τὸ ἐν ἀρχῇ αὖθις ζητήσομεν, τὶ δήποτ' ἠθέλησε· τετέςιν ὅ,τι δὴ ἕτως ἑαυτὴν διορίζεται ᾗ ἐκ ἄλλως; τὸ γὰρ μηδὲν ἐδενὸς ἂν εἴη παραίτιον.

§ 129. Εἰσὶν οἱ λέγοντες, κατ' αὐτὸ τῆς προθέσεως, ἀναγκαίως τὴν ψυχὴν διϊθύνεσθαι πρὸς τὸ αἱρετόν· τετέςι, πρὸς τὸ, κατά γε τὸ νῦν ἔχον ἐκεῖνο, ἄριςον δοκῦν, κᾂν τέτῳ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνῳ προςιθέντες, κεῖσθαι τὸ ἐλεύθερον, ᾗ μετέωρος ἡ ψυχὴ μένειν δύναται, ϰ τόγε τῆς βȣλῆς παρατεῖναι, ἢ τῷ διορισμῷ ςῆσαι τὸ βȣλευόμενον.

§ 130. Ἀλλ' ȣ̓χ ȣ̔́τως αἵρεσιν ἐκ μέσȣ τὴν ἑαυτȣ̃ πλαττομένην δυχέρειαν· ȣ̓ γὰρ ταυτὸν δηλονότι τήν τε βȣλὴν κατὰ τὸ συνεχὲς παρατεῖναι, ϰ ταύτην διακόψαντα ἐκπερᾶναι. Εἰ μὲν γὰρ παρατείνοιτο, ὁ λόγος ζητεῖται ὁ τῆς παρατάσεως· εἰ δ' ἐκπερανθείη, ȣ̓κ ἀναιτίως ȣ̓δ' αὐτὸ, κατά γε τὸ νῦν ἔχον ἤδη ἐκτελεσθήσεται. Ἀεὶ γὰρ πέρας κατ' ἐκεῖνο δὴ τὸ σημεῖον γίνεται, καθ' ὃ ἄμεινον δοκεῖ τῇ ψυχῇ πρὸ τȣ̃ συνεχισμȣ̃ τῆς βȣλῆς θέσθαι τὴν ἐκπεράτωσιν· παρατείνει δὲ τὸ βȣλεύεσθαι, εἰς ὅγε ȣ̓́πω ἂν τȣτὶ δόξειεν.

§ 131. Ἐπὶ τȣ́των ἁπάντων, ȣ̓ περὶ Φυσικῆς αἰτίας, περὶ δὲ τῆς κατὰ τὸ ἦθος λεγομένης ὁ λόγος, ἧς περ ἀλλ' ȣ̓̃ν τὸ ἀποτέλεσμα ἀναγκαῖον ἐςὶν (88. 50).

Ἡ Ἀνάγκη ἡ τῷ διορισμῷ τῆς θελήσεως ἐμφιλοχωρȣ̃σα ἀεὶ ἠθικὴ ἐςί· Φυσικῆς γὰρ ȣ̓́σης, Φρȣ̃δον ἂν ἦν τὸ ἐλεύθερον, ὡς ἐπὶ τȣ̃ ἐφεξῆς ΚεΦαλαίȣ εἰσόμεθα. Κατὰ δὲ τὴν βίαν, τὴν καὶ τὸ ἐλεύθερον ἀναιρȣ̃σαν (125), ἑκάτερον ἂν ἐγχωρήσειεν ἀνάγκης εἶδος. Ταύτης γὰρ μόνον ἐςὶ τὸ ἐμποδὼν ἵςασθαι τὸ μὴ, ὅ ἄντις θέλοι, ποιῆσαι· ἑκατέρας δὲ τῆς ἀνάγκης τὸ ἀποτέλεσμα βέβαιον. Ἐννοήσωμεν δὴ ἄνθρωπον τὰς Φρένας ὑγειᾶ, ἐν τόπῳ παντα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χόθειν πεφραγμένῳ κατέχεσθαι. Προϊέναι θέλων ἐ δύναται· βία τὸ γινόμενον, καὶ τὸ κατ᾽ αὐτὴν φυσικόν· ἤδη μὲν ἐν θυρὶς ἠνέῳκται, ἀλλὰ τȣ̃ ἐν τῷ κρημνῷ κινδύνȣ προφανȣ̃ς ὄντος, οἰκȣρεῖ ἔτι ὡς πρότερον. Οὔκȣν ἦρται ἡ βία, ἀλλὰ μετήμειπται. Ἠθικὴ ἐςὶν ἡ ἤδη περιȣ̃σα· ἔχοι ἂν ἐξιέναι, εἰ μόνον ἐθελήσειεν κατὰ κεφαλῆς διὰ τῆς θυρίδος ἑαυτὸν ὤσασθαι, ἀλλ᾽ ἐκ ἂν ἔχοι τȣ̃το ἐθελῆσαι. Ἐὰν γὰρ ἐθελήσειεν, ἐκ ἂν ὑγιαίνων τὰς φρένας ἐτύγχανεν, ἧπερ ἐτέθη. Οὐδέπω ἄρα ποιῆσαι ἔχει τὸ παριςάμενον.

§ 152. Τέως ἐπ᾽ ἐκεῖνο καταφεύγȣσιν, ὅτι κατάγε τὴν ἀκριβῆ ἀντιῤῥοπίαν, εἰ μηδαμȣ̃ ἄλλη, ἐδὲν ἄλλο τȣ̃ διορισμȣ̃ αἴτιον, παρὰ τὴν ψυχὴν, φασὶν, αὐτήν.

§ 153. Ἀλλ᾽ ἐν ᾧ διαρκεῖ τὸ ἀντίῤῥοπον, καὶ πάντα ἑκατέρωθεν ἴσα, ἐδεὶς ἂν τεθείη διορισμός. Ἐν ᾧ δ᾽ ἔτος τίθεται, θάτερον θατέρȣ πρότερον τάσσεται, ὅτε λόγος ζητεῖται δι᾽ ὃν τόδε πρὸ τȣ̃δε τίθεται. Ἄνευ τῆς τοιᾶς δε αἰτίας, διὰ παντὸς ἂν ἔμενε τὸ ἀντίῤῥοπον. Καίτοι μόλις ἐν σμικρῷ τȣ̃ χρόνȣ μορίῳ τὸ ἐπ᾽ ἀκριβὲς ἀντίῤῥοπον μένειν οἷόντε, παρακινεῖ γὰρ αὐτὸ καὶ διεκταράττειν πέφυκε καὶ τὸ ἐλάχιςον, τῆς τε προσοχῆς ἐπίτασίν τινα παθȣ́σης ἢ ὕφεσιν, ῥᾷστα ἀνήρηται. Αὐτὴ, φασὶν, ἡ ψυχὴ τὸ ἀντίῤῥοπον ἀναιρεῖ. Ἀλλὰ γὰρ τό δε ἴσως πειθείην ἄν, τί δε ὧδε μᾶλλον ἢ ὧδε;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

## Περὶ Εἱμαρμένης.

§ 134. Πολλοὶ εἰσὶν, οἱ πᾶσαν ἀνάγκην Εἱμαρμένην εἶναι διαπειθόμενοι, τήν τε νοερὰν Φύσιν τὴν ἐξ ἀνάγκης ἑαυτὴν διορίζουσαν οὐδὲν ὡρολογίου διαφέρειν, τοῦ διὰ τὸ ἐπεῖγον βάρος, κατὰ μηχανικοὺς τινας θεσμοὺς ἀναγκαίως κινουμένου.

Περὶ μὲν οὖν τῶν ὀνομάτων ἥκιστα διενεκτέον, Φυλακτέον γεμὴν, μὴ τούτων τῇ παραχρήσει, τὰς μάλιστα ἀπ' ἀλλήλων διακρίνεσθαι πεφυκείας τῶν ἰδεῶν συγχέοιμεν.

§ 135. Θῶμεν δή τινα ἐν ἀμφιγνοίᾳ μετεώρως ἔχειν, πότερον αὐτῷ αἱρετέον τὸ Α, ἢ τὸ Β, οὐδέτερα ἀῤῥεποῦς ταλάντου μηδὲν διαφέροντα. Ἐννοήσωμεν δὲ τὸν τοιοῦτον λόγοις ἑπόμενον πείθεσθαι, εἶναι αὐτῷ τὸ μὲν Α συμφέρον, τὸ δὲ Β ἐπιβλαβές. Ἦν οὖν αὐτᾷ βουληθέντι τὸ Β ἑλέσθαι, νῦν δὲ, πεπεισμένος ἤδη ἐξ ἀνάγκης τοῦτ' αὐτᾷ βλάβης εἶναι πρόξενον ἑλομένῳ, βουληθῆναι οὐ δύναται Ἔνθεν τοι καὶ μὴ πρὸς τὸ Α τραπέσθαι οὐ δύναται ( 115 )· ἡ γὰρ τοῦ ἑτέρου διαφυγὴ, θατέρου τυγχάνει αἵρεσις.

§ 136. Ὅδε ὁ διορισμὸς, οὗ αἰτία ἡ πειθὼ, λόγοις ἐπερηρεισμένη, παραπλησία ἐστὶ τῇ κινήσει τῇ μεταδιδομένῃ τῇ πλάστιγγι, διὰ τῆς ἑτέροθεν τοῦ βάρους προσθέσεως· ἑκατέρωσε γάρ τις ἀνάγκη ἐμφιλοχωροῦσα ἐστὶ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλὰ γὰρ, ἐπὶ τῷ ληφθέντι τῆς πλάςιγγος παραδείγματι χρῆσθαι ἔνεςι, μὴ παρ᾽ αὐτὸ τοῦτο, τὰ ἀναγκαῖα ταῦτα, ἀπ᾽ ἀλλήλων οὐδὲν διαφέρεσθον; Μὴ λόγῳ πείθεσθαι, καὶ βάρει κινεῖσθαι ταυτὸν ἐςίν; ἢ οὐκ ἀθλίως ταῖς φωναῖς εἰσὶ καταχρώμενοι, οἱ ταῦτα τὰ δύο συγχέοντες;

§ 137. Εἰσὶν οἱ, ἐπὶ τοῦ προκειμένου, τὸ βέβαιον τοῦ ἀναγκαίου διακριτέον εἶναι ἡγούμενοι, ἀλλὰ περὶ τῆσδε τῆς διακρίσεως ἀνωτέρω μετήλθομεν (52).

§ 138. Ὁπότε γὰρ τὰ εἰς ἐνέργειαν κινοῦντα ἡμᾶς, κατ᾽ αὐτὸ ἡμῶν τὸ νοητικὸν τῆς δυνάμεως δρᾷ, ἢ τοιοῦτο, οὕτως ἀλλ᾽ οὖν ὥςε πράττειν ἐπεὶ βουλόμεθα, ὅ,τε τῆς θελήσεως ἡμῖν διορισμὸς τῇ κατὰ κρίσιν ἢ διανόησιν ἐμποιουμένῃ πειθοῖ, βέβηκεν ὡς θεμελίῳ, οὐδεμίαν ὅλως ἄν τις ἐπινοήσειεν μηχανικὴν, ἢ φυσικὴν ἀνάγκην, οὐδ᾽ ὑπὸ τῆς εἱμαρμένης ἀγόμεθα.

§ 139. Οἱ τὴν Εἱμαρμένην εἰσάγοντες, οὐχὶ ταῖς ἐν ἡμῖν ἰδέαις, ἐν αἷς μόναις τὸ τῆς πειθοῦς ζητητέον, τὰς καθ᾽ ἡμᾶς πράξεις φέρουσιν ἀπονέμοντες, ἀλλ᾽ αἰτίᾳ τινὶ μηχανικῇ, τῇ καὶ τὸν διορισμὸν τῆς ἑαυτὸν θελήσεως συγκατασπώσης, ὥςε μηδὲ πραττειν ἡμᾶς διότι βουλόμεθα, βούλεσθαι δὲ ὅ,τι πράττομεν. Αὕτη δὲ ἡ τῆς ἐλευθερίας τυγχάνει ἀπὸ τῆς Εἱμαρμένης διαςολή.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

§ 140. Τοιοῦτό τι περὶ τῆς εἱμαρμένης δόγμα πρεσβεῦσαι πάλαι τε τοὺς Στωϊκοὺς, καὶ καθ' ἡμᾶς τὸ Τούρκων ἔθνος, ῥᾷστα ἐκ τῶν παρ' αὐτοῖς προβαλλομένων ἐπιχειρημάτων ἐπάγεται. Ταύτην γὰρ ἐκ τῆς Εἱμαρμένης ἀποφέρονται τὴν συνέπειαν, ὅτι τὸ κακὸν, ὃ τῇ ἐλευθέρᾳ παροπηδεῖ πράξει, διαφυγεῖν καὶ προειδότας οὐχ οἷοντε.

§ 141. Οἱ δὲ δὴ, τὴν ἀνωτέρω ἡμῖν ἐκτεθεῖσαν, περὶ τῆς ἐλευθερίας ἰδέαν ἔχοντες, εὐμαρῶς ἐπιγνώσονται ταυτὶ τὰ δύο ἀλλήλοις εἶναι μαχόμενα, προϊδεῖντε δηλαδὴ τὸ κακὸν, καὶ μὴ ἐκκλῖναι, ἐπειδὰν αὐτὸ ἀπὸ τῆς βουλήσεως, ᾗ δὴ μόνῃ τὴν πρᾶξιν ἀναθετέον, ἐξήρτηται.

§ 142. Καὶ τὸν Σπινόζαν δὲ παραπλησίαν τινὰ τὴν εἱμαρμένην εἰσαγαγεῖν, πολλαχόθεν τῶν ἐκείνου συγγραμμάτων ἐλέγχεται. Ἀλλὰ κἂν ἐκ μόνου τοῦ παραδείγματος ὅ, διερμηνεύων δῆθεν τὴν ἐλευθερίαν προβάλλεται, εἴη κατάδηλον· τὰ γοῦν ἐκείνου τοιάδε ἐπὶ λέξεως. „Νόειμοι (εἰ δοκεῖ) λίθον, ἐν ᾧ ἂν κινεῖσθαι „ἐπείγοιτο, νοεῖντε καὶ εἰδέναι, ἥπερ οἷοντε „αὐτὸν σπεύδειν εἰς κίνησιν· οὗτος μὲν οὖν ὁ „λίθος, ὡς ἄρα τὴν ἰδίαν αὐτοῦ εἰς τὸ κι„νεῖσθαι μόνον ἔπειξιν ἑαυτῷ συνειδὼς, καὶ μη„δαμῶς ἀδιαφορῶν εἰς τοῦτο, τὸ ἐλεύθερον „πλουτεῖν ἡγήσεται, καὶ παρ' οὐδὲν ἄλλο τῇ κι„νήσει ἐνεπιμένειν πεισθήσεται, ἢ ὅ,τι βούλεται. „Καὶ τοῦτο δὴ τὸ παρ' ἀνθρώποις ἐλεύθερον ἀκοῦον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ἐςὶν, ὃ πάντες ἔχειν ἐπικομπάζεσι, ϗ ὅπερ „ἐν τέτῳ μονῳ κεῖται, ὅτι τὴν μὲν ἑαυτοῖς „ἐνεσαν ὄρεξιν ἐκ συνειδήσεως σφίσι συνίσασι, „τὰς δὲ αἰτίας ὑφ᾽ ὧν διορίζονται, ἀγνοεσι.„ Σπινόζ: ἐν ἐπιςολ. Σελ. 584 — 585.

§ 143. Τοιάνδε δήπε μηδαμῶς εἶναι τὴν ἐν ἀνθρώποις ἐλευθερίαν, ἡ καθ᾽ ἡμέραν ἐνδιδάσκει πεῖρα. Ταύτης γὰρ συγχωρηθείσης, ϗ τὰ κατὰ τῆς τῶν συλλογισμῶν διανοήσεως ψεῦδα, ὡς ἀπὸ τε ἔξωθεν ἐπενεςγεντος ἀνηςτημένης τῆς πράξεως, ϗ ὑπὸ τέτε αὐτε τῆς βελήσεως ἀγομένης τε καὶ φερομένης, ὥς πε δῆλον ἐξ αὐτε τε κατὰ τὸν λίθον προχειρισθέντος παραδείγματος· βέλεται μὲν γὰρ ἐπεὶ κινεῖται, ε κινεῖται δὲ διότι βέλεται. Καὶ τετ᾽ ἂν ἀεὶ χώραν ἔχοι, εἰ φυσικόν τι εἶναι τεθείη τὸ αἴτιον τὸ διακάμπτον τὴν θέλησιν.

§ 144. Ταῖς γε μὴν κατὰ ἄνθρωπον πράξεσι, ταῖς ἐλευθέραις καλεμέναις τὸν νεν προσέχοντες, αὐτῷ τῷ τῆς βελήσεως διορισμῷ, ἀποδοτέας αὐτὰς εἶναι σαφῶς συνίεμεν, τόν τε διορισμὸν τετον, μηδεμίαν ἄλλην αἰτίαν εἰδέναι, παρὰ τὴν πειθὼ τῆς ψυχῆς πεπείσμεθα. Ἡ δὲ πειθὼ, ε μηχανικαῖς τισιν αἰτίαις, μόνοις δὲ τοῖς προβαλλομένοις λόγοις ἡμῖν ἐνίεται.

§ 145. Ὁ ὑπὸ τε λόγε ἀγόμενος, εδόλως τῇ Εἱμαρμένῃ καθυπάγεται· ἀλλὰ περὶ τῆς τοιᾶσδε ὑπαγωγῆς ζητοῖτο ἂν, εἰ μὴ τῇ νοερᾷ φύσει ἐςὶν ἀντιπεριπίπτεσα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

§ 146. Οὐχ ἅλις ἴσμεν ἅττα συμβαίνει ταῖς οἰασοῦν ὕλης ἀποκεκριμέναις ἀΰλοις φύσεσιν, ὥςε τι περὶ αὐτῶν προσδιορίσασθαι.

§ 147. Περὶ γεμὴν τῶν ἀνθρώπων ἡ ἀπάντησις πρόχειρος· καθημέραν γὰρ πολλὰς ὁρῶμεν τῶν ἀνθρώπων, ἂν αἱ πράξις τῆς καθ' εἱμαρμένην ἀνάγκης ᾽ πάντῃ ἀπηλλαγμέναι εἰσί. Καὶ γάρ τι μαινόμενοι, καὶ βιαιοτέρῳ πυρετῷ συνεχόμενοι, οὔτε πάθει τινὶ ᾽ μετρίῳ βαλλόμενοι, καὶ πολλοὶ ἄλλως πως τὰς φρένας παρακοπτόμενοι, τοῦ τοιούτου εἴδους ἐοίκασιν. Ἐπὶ γοῦν τούτων ἁπάντων ἡ τοῦ διορισμοῦ τῆς βουλήσεως ἔρευνα, ᾽ μικρὸν ἂν διασαφήσειε τὴν μεταξὺ τῆς Εἱμαρμένης καὶ τῆς ἐλευθερίας διαςολήν.

§ 148. Ἀμέλειτοι ἐπὶ ἀνθρώπου τῇ ψυχῇ τὸ σῶμα συνέζευκται, καὶ ἐνδοτάτη ἐμφιλοχωρεῖ τούτοις ἡ οἰκειότης τε καὶ συμπάθεια. Τῆς δὲ συμπαθείας ἔργον, ἐννοίας τινὰς, τεταγμέναις τισὶ σωματικαῖς κινήσεσιν ἀχωρίςως συμπροϊέναι. Τὸ δὲ ἔννοιαν ψυχῆς μηδεμίαν ὅλως συμβαίνειν ἢ μήτι ἀντιςοιχείη ὡς ἐκ τοῦ σώματος κίνημα, κἂν ἐντεῦθεν δῆλον, ὅτι καὶ ἐπὶ τῆς μελέτης τῶν ἀσωμάτων καὶ ὅλως ἀφῃρημένων, ᾽ μετρίως τὸ σῶμα διαπονεῖτε καὶ ὑπεκλύεται. Ἀλλὰ καὶ πᾶσαι ἡμῖν ἁπαξαπλῶς αἱ νοήσεις διαταράττονται καὶ συγχέονται, ἐπειδὰν τινὰ τρόπον τὸ σῶμα διάκειται.

§ 149. Οὕτω δ' ἀμοιβαίως αἱ σωματικαὶ κινήσεις, μετὰ τῶν τῆς ψυχῆς ἐννοιῶν ἔχουσι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς ἀλλήλας, ὥςε ἐκ μὲν τῆς κινήσεως, ἔννοιάν τινα ἐξεγείρεσθαι, ἐκ δὲ τῆς ἐννοίας ἀνάπαλιν κίνησιν.

§ 150. Ἐπὶ ἀνθρώπȣ τȣ͂ εὖ τε καὶ ὑγειῶς καθεςῶτος, τῶν τινα σωματικῶν κινημάτων, καὶ ἅττα τȣτοις νοήματα παρακολȣθεῖ, μή τινος ἐξωτερικῆς αἰτίας τεταγμένης προσπιπτȣ́σης, ȣ̓δέποτε διεγείρεται. Οἷον ἦχος ȣ̓δεὶς ȣ̓δέποτε ἐξακȣ́εται, ἐὰν μὴ πληγεὶς ὁ ἀὴρ, τινὶ τῶν εἰς αὐτὸ τεταγμένων νεύρων, τῆς κινήσεως μεταδῷ.

§ 151. Ἄλλαι δέ τινες κινήσεις ἐπὶ τȣ͂ σώματος ȣ̓δέποτε ἐμποιȣ͂νται, μὴ τȣ͂ τῆς βȣλήσεως προηγȣμένȣ διορισμȣ͂, τῆς ὑπὸ τȣ͂ λόγȣ διϊθυνομένης, κἂν αἱ κρίσεις τὰ πολλὰ, ἰδέας ὡς λίαν ἀσαφεῖς ἀφορῶσι.

§ 152. Καὶ ταῦτα μὲν ȣ̔́τως ἔχει, ἐν ᾧ νȣ͂ ὑγιεȣ͂ς ἐν σώματι ὑγιαίνοντι, ἀπολαύει ἄνθρωπος. Οὗτος γὰρ τῷ ὄντι ἐλεύθερος ἐςὶν· ἵνα γὰρ πράξῃ, λόγοις ἡ ψυχὴ ἀναπειςέα ἐςὶν αὐτῷ ὥςε θελῆσαι. Καὶ τοιᾷδε λόγῳ κύριος ὁ τοιȣ͂τος τῶν ἰδίων ἑαυτȣ͂ πράξεων.

§ 153. Ὡς εἴγε αἱ τοιαίδε κινήσεις ἐν τῷ σώματι, ἃς ὁ τῆς βȣλήσεως διορισμὸς ὤφειλεν ἀπογεννᾷν, ὑπὸ αἰτίας ἐξωτερικῆς, τῆς ὑγιȣ͂ς ἀμέλειτοι τȣ͂ σώματος καταςάσεως ἐκταραττομένης, παράγοιντο, ὁ καθ᾽ εἱμαρμένην τῆς βȣλήσεως διορισμὸς ἕψεται παρὰ πόδας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 154. Κλινοπετὴς, λόγοις δικαίοις πειθόμενος, μὴ προϊέναι, ὡς βλαβεροῦ αὐτῷ ἐσομένου, ἐλευθέρως κατὰ χώραν μένων ἐοῖς ἐν δεμνίοις, ἀτρέμας ἔχει. Ἀλλὰ γὰρ τοῦ πυρετοῦ βιαιότερον ἐπισκήψαντος, τῆς κοίτης ἐξάλλεται, καὶ φροῦδος ἅπας λόγος αὐτῷ παραινέσεως· ὑπὸ γὰρ τῆς ἐν τῷ σώματι κινήσεως ἡ θέλησις διορίζεται, καὶ οὐκέτι τότε τὸ σῶμα τυγχάνει ἡ ψυχὴ διεξάγουσα, ἀλλ' ἡ εἱμαρμένη ἄγουσα ἐστὶν αὐτὸ καὶ φέρουσα· καὶ εἰ τὰ πραττόμενα τῇ θελήσει συνᾴδειν ἔοικεν, ἀλλ' ἔμπης ἀληθὲς ἐστὶ τὸ κοινῇ λεγόμενον, οὔτ' ἐλευθερίας τὸν οὕτως ἔχοντα μετέχειν, οὔτε δὴ βουλήσεως· ὃ καὶ περὶ αὐτοῦ τις ἂν ἔχοι ἀποφήνασθαι τοῦ Σπινόζου, εἰ μὴ ἄλλην, παρὰ τὴν ἐν τῷ κατ' αὐτὸν ὑποδείγματι, (λιθώδη τινὰ δηλονότι) κεκτημένος ἐλευθερίαν ἐτύγχανε.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

## Ἐπίκρισις διαφόρων δοξασμάτων περὶ τῆς ἐλευθερίας.

§ 155. Καὶ τῶν εἰς τόδε εἰρημένων, ὅσα γε εἰς διασάφησιν τῆς ἐλευθερίας τείνει, ἅλις ἐχόντων, ὡς μέντοι πάνυ ἀξιολόγων τινῶν περὶ αὐτῆς κινουμένων ζητήσεων, ἐστὶν ἅττα προσθεῖναι, τὰ εἰς πληρεστέραν τοῦ πράγματος φέροντα σαφήνειαν, πρὸ ἔργου μοι ἂν ἔσεσθαι δοκεῖ, ἵνα μὴ



καὶ τὰ εἰρημένα λαβὴν παράσχωσιν εἰς ἀντιλογίαν, ἢ γοῦν ἀφορμὴν ἀπορίας τοῖς ἐντυγχάνουσι. Τῷ ὄντι γὰρ οὐδὲν τοιοῦτον ἐπὶ τῶν φιλοσοφουμένων ζήτημα κινούμενον εὕροιτις ἂν, ἐν ᾧ τοσαύτη, ἐν διακεκριμέναις δοξασίαις συμβαίνει ἡ σύγχυσις.

§ 156. Περὶ τῆς παρὰ τῷ Θεῷ ἐλευθερίας, λόγος οὐδεὶς ἐπὶ τοῦ παρόντος, τῆς μᾶλλον τοῦ παρ' ἀνθρώποις ἐλευθέρου ἀπεχούσης, ἢ ὅσον οὐρανὸς ἄπεστι γαίης· ὑπέρτατον γὰρ Θεῷ τὸ ἀπόλυτον, καὶ ἐν ἀκρότητι τὸ μηδενὸς ἠρτημένον. Πέρατος παντὸς ἀνεπίδεκτος ὁ Νοῦς ἐκεῖνος, καὶ μόνος ἔχων ἐστὶν ἐν ἀκροτάτῃ τελειότητι τὸ ἐλεύθερον (117).

§ 157. Εἰς τρεῖς δόξας, εὐθέτως ἄν τις ἀνακαλέσαι, τὰ περὶ τῆς ἀνθρωπίνης ἐλευθερίας, λογομαχούμενα.

§ 158. Πρῶτον: τινὲς τὴν κατὰ τὸ ἀδιάφορον λεγομένην ἐλευθερίαν, τῷ ἀνθρώπῳ προσήκειν ἐνόμισαν, ἣν οὕτως διεξηγοῦνται. Τοιαύτην δηλονότι λέγοντες ὑπὸ Θεοῦ δεδόσθαι τῷ ἀνθρώπῳ δύναμιν, τοῦ δυοῖν ἢ πλειόνων, φύσει ἐπ' αὐτῷ ὄντων, αἱρεῖσθαι τὸ δοκοῦν, ὥστε καὶ παντὸς ἀπόντος αἰτίου τε ἐξωτερικοῦ, καὶ λόγου τοῦ πρὸς τόδε, ἢ τόδε ῥέψαι διαπείθοντος, τὴν βούλησιν αὐτὸν τὴν ἑαυτοῦ διορίζειν δύνασθαι.

§ 159. Τοῦτο δὲ ἀδύνατον εἶναι δοκεῖ. Αἱρετέον σοι προκειμένων ἐν μέσῳ Α καὶ Β. Φὴς δὲ αἰτίου τε παντὸς καὶ λόγου ἀπόντος, ἑλέσθαι ἔχειν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόδε, ἢ τόδε. Αἱρεῖ δὲ τὸ Α, τοῦ χάριν; ὅτι βούλομαι, φής. Τί δὲ τὸ Α, πρὸ τοῦ Β ἤθελες βουλόμενος; αὖθις ἀπαντᾷς, ὅτι βούλομαι· ὁ Θεός μοι τὴν δύναμιν ταύτην παρέσχετο. Ἀλλὰ τί δήποτε τόδε δηλοῖ τὸ λεγόμενον, ἐθέλω με θέλειν, ἢ θέλω διότι θέλω; οὐδὲν ἐπιεικῶς ἢ τοῦτο θέλω τὸ Α. Ἀλλὰ γὰρ τὸ ζητηθὲν ἔτι ἐνέχει. Διατί οὖν θέλεις τὸ Β; ὅτι φησὶ δύναμιν ἔχων τυγχάνω τοῦ ἐμὲ αὐτὸν διορίζειν, ὥστε δὴ ἐλεύθερος ὤν, ᾗπερ ἂν ἐθέλω. Ἀλλ' ἡ δύναμις ἀόριστος ἐστί; τί δὴ οὖν σοι διορίσαι ταύτην δοκεῖ πρὸς τὸ Α, καὶ μὴ πρὸς τὸ Β; ἢ πάντη ἀλόγως τὸ Β ἀποβάλλειν φής; Ἢν γὰρ εἴποις, ἀρέσκει μοι τὸ Α, ἐπεὶ ἀρέσκει, ἤτοι σοι μηδὲν σημανεῖ τὸ λεγόμενον, ἢ οὕτω πῶς νοητέον, ἀρέσκει μοι, ἐπεὶ πάρεστί τις λόγος, δι' ὃν ἂν οὕτω διορισθείην· ἄλλως γὰρ τὸ μηδὲν αἰτιατοῦ τινὸς ἂν εἴη παραίτιον. Πρὸς οὖν τοῦτο τὸ πέρας ἀπάγονται, οἱ τῆς πρώτης ταύτης δόξης ἐχόμενοι. Ὅρα § 90. 91. 115. 127. 128.

§ 160. Ἀλλ' ἐπανίστανται αὖθις, ἐμαυτοῦ, φάσκοντες, ἐλευθέρου ὄντος αἰσθάνομαι. Τίς δὲ ποτε τὸ τοιοῦτον ἠρνήσατο; ἀλλὰ μὴ καὶ αἰτιατόν ποτέ τις κατενόησεν εὐκρινῶς, ἄνευ αἰτίας συμβαίνειν δυνάμενον;

§ 161. Ἔτι προστιθέασιν, ὅτι μὴ τῆς ἀδιαφορίας ταύτης συγχωρηθείσης, ἐπὶ τὴν ἀνάγκην τὰς ἀνθρωπίνας πράξεις συνωθουμένας ἕξομεν, καὶ φροῦδος μὲν νόμος ἅπας, ἄτοπος δὲ καὶ ἡ διὰ τῶν ποινῶν, ἢ τῶν βραβείων ἀντί-



δοσις, τηνάλλως δ' ἄντι ἐπαινοῖτο, ἢ ψέγοιτο, ἥτε τλήμων ἀρετὴ λόγος ἄρ' ἔσται, ἐκ βάθρων περιτρεπομένη κτλ:

§ 162. Ἐν μὲν οὖν τοῖς λογικοῖς εἰσόμεθα, ὅτι τὸ τῆς συνεπείας ἄτοπον, ὑπὲρ τῆς ἀντικειμένης δόξης, οὐ φαῦλον ἐστὶν ἐπιχείρημα· ἀλλ' ἐὰν μέντοι ἡ προτέρα δόξα, ἀλλοθέν ποθεν κατασκευαζομένη τύχῃ, διὰ τοῦ τοιοῦδε ἐπιχειρήματος, περιτραπήσεται μὲν ἐκείνη οὐδαμῶς, ἀμφότεραι δὲ αἱ ἀντιφερόμεναι δόξαι ὑποσαλεύονται.

§ 163. Καίτοι ἔνγε τῷ παρόντι τοῦ κανόνος οὐ χρήζομεν. Οὐ γὰρ συγχωροῦμεν οὐδὲ τοὺς τῆς ἀδιαφορίας προστάτας τὴν ἀνθρώπου ἐλευθερίαν ἁπαξαπάσης ἁπλῶς ἀπαλλάττειν ἀνάγκης· ἀποφάσκομεν γε μήν, καὶ ἐκ τῆς τυχούσης ἀνάγκης, ἃς δεδοίκασιν ἀτόπους συνεπείας συμβαίνειν.

§ 164. Πρῶτον μὲν γὰρ καὶ τῆς ἀδιαφορίας περὶ ἧς ὁ λόγος συγχωρουμένης, ἀνάγκην δίδοσθαί τινα ἐπὶ τῶν διορισμῶν τῆς ἀνθρωπίνης βουλήσεως διατείνομαι, οὐ μὴν ἀπόλυτόν τινα, οὐδ' οἵαν τὴν καθ' εἱμαρμένην, τοιαύτην δέ, ὥστε ἐφ' ἑκάστου διορισμοῦ τοὐναντίον εἶναι ἀδύνατον. Δῆλον δέ, ἐὰν τῇ τοῦ Θεοῦ προγνώσει τὸν νοῦν ἐπιστήσωμεν (52).

§ 165. Ἀπαντῶσιν, ὡς ἡ τοιάδε πρόγνωσις, πρὸς τὸ μὴ καταναγκάζειν τὴν βούλησιν, οὐδὲ τοῦ κατὰ τὸν ἐκείνης διορισμὸν παραίτιος γίνεται. Ἀλλὰ γὰρ οὐ περὶ τούτων ἐνταῦθα πραγ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματευόμεθα. Ἀπαραβίαστος ἐστὶν ἡ βούλησις (23). Ἀλλ᾽ οὕπερ ὁ Θεὸς προέγνω, ὅπως ἂν συλλογισθείημεν περὶ τῆς θείας προγνώσεως, ἐκεῖνο βέβαιον, ὅτι τοῦ προγνωσθέντος τοὐναντίον τεθῆναι οὐ δύναται· τουτέστιν ἀδύνατον ἐστι. Ταύτῃ τοι καὶ ἀναγκαῖον τὸ προγνωσθέν· οὗτος γὰρ ὁ τοῦ Ἀναγκαίου ἐστὶν ὁρισμὸς (47).

§ 166. Καὶ οὐδὲ πᾶσαν δ᾽ ἐκείνους ἐκκλίνειν ἀνάγκην, ῥᾷστ᾽ ἂν δειχθείη, τοὺς ὅσοι ποτὲ δοθέντος τοῦ ἀδιαφόρου ἐπὶ τοῦ τῆς βουλήσεως διορισμοῦ, τὴν τοῦ Θεοῦ πρόγνωσιν ἀπαναίνονται. Ἀλλ᾽ ἦν ἂν πολλῷ ἔτι ῥᾴδιον ἀποδεῖξαι, εἰ μὴ ἔξω τῆς προκειμένης ἔβαινε προθέσεως, οὐδὲν ἀλογώτερον ἐπινοῆσαι ἔχειν, ἢ τὸν Θεὸν πλάσασθαι, ὃ χθὲς ἀγνοῶν ἐτύγχανε, μανθάνοντα σήμερον.

§ 167. Ἔφην δεύτερον, μὴ ἐξ οἰασοῦν ἀνάγκης, τὰ ἀνωτέρω (161) ἐπιφερόμενα ἕπεσθαι. Νοῶ δὲ τὴν κατ᾽ ἦθος ἀνάγκην, καὶ τοῦτο εὐθὺς (169) εἰσόμεθα.

§ 168. Δεύτερον: ἡ περὶ τῆς ἐλευθερίας δευτέρα δόξα, εἰς πλάτος ἡμῖν ἐν Κεφαλαίῳ Ι΄. ἀνέπτυκται. Κατὰ δὴ ταύτην ἡ ψυχὴ οὐδέποτε αἰτίας ἄνευ ἑαυτὴν διορίζεται. Ἅυτη γε μὴν Φυσικὴ οὐκ ἔστιν, ἠθικὴ δὲ, ἡ κατ᾽ αὐτὸ τὸ νοητικὸν ἐνεργοῦσα. Οὕτως ὡς μηδέποτε τὸν ἄνθρωπον ἐπὶ τὸ ἐνεργῆσαι ἐλευθέρως ἐναχθῆναι ἔχειν, εἰ μὴ δι᾽ ὧν πειθώ τις ἐγγίνεται. Διὰ τοῦτο δὴ, οἵτε νόμοι χρειώδεις εἰσὶ, καὶ



ποιναὶ, καὶ βραβεῖα οὐ μικρὸν συντελοῦσιν ἐπαγγελλόμενα. Ἐλπὶς γὰρ καὶ φόβος ἀμέσως ἐπὶ τὴν φύσιν δρᾷ τὴν νοῦν ἔχουσαν.

§ 169. Ἐὰν τὸ τῆς ἀδιαφορίας συγχωρήσωμεν, οὐκ ἐλπὶς, οὐ φόβος, οὐ νόμων ἐμπειρία καὶ γνῶσις τὴν βούλησιν διορίζουσι, τὸ δὲ μηδὲν. Ἀποκρίνονται, ὡς διορίζει μὲν τάδε πάντα τὴν θέλησιν, οὐκ ἀναγκαίως δὲ· τουτέστι, τεθείσης καὶ τῆς τοῦ νόμου ἐπιγνώσεως, ἕπεσθαι ἡ ψυχὴ δυνήσεται, καὶ μὴ, ὃ περὶ τῆς φυσικῆς δυνάμεως παναληθέστατον ἐστὶ λεγόμενον. Ἀλλ᾽ ἵνα δὴ ἡ βούλησις διορισθῇ, εἰ μὴ κατὰ τὴν παροῦσαν τῆς ψυχῆς διάθεσιν, ἀποχρῶν εἴη ὁ νόμος γινωσκόμενος, ἑτέρου χρεία τινός. Εἴδομεν δὲ, ὅτι τοῦτο γε, ὡς ἐκ τῆς ἐκείνων εἰπεῖν ὑποθέσεως, τὸ μηδὲν ἔσται (159).

§ 170. Περὶ δὲ τῆς ἀρετῆς ἐξ ὧν εἰρήσεται, τὰ περὶ ἐπαίνων τε καὶ ψόγων λεγόμενα οὐδεμίαν ἕξει δυσχέρειαν. Ἀλλὰ διοριστέον πρῶτον τίνα δήποτε ἐπιζητεῖται, ἐφ᾽ ᾧ ἐπὶ τὴν ἀρετὴν τὰς ἀνθρωπίνας πράξεις ἀνάγεσθαι.

Α΄. Δέον τὴν πρᾶξιν ἀπὸ τῆς τοῦ νοεῖν προϊέναι δυνάμεως· τουτέστιν ἵν᾽ ὁ ἄνθρωπος πράττῃ ἐπεὶ βούλεται.

Β΄. Καὶ εἰδέναι τὸν πράττοντα, τί τῷ αὐτῷ καθῆκον ἐν αἷς κεῖται περιστάσεσι, καὶ δὴ καὶ εὐσταθῆ τινα τὴν πρόθεσιν προβεβλῆσθαι, τοῦ πρὸς γνώμονα παραβαλεῖν τὰ πραττόμενα, ὃν αὐτῷ τὸ Θεῖον ὑπέθετο.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γ'. Τέως ἡ τοιάδε τῆς ψυχῆς διάθεσις, τῇ τοῦ καθήκοντος ἐπιγνώσει συμβαίνουσα, ὀφείλει ἐπικάμπτειν τὸ βουλητικὸν, κἀπὶ τὸ πράττειν τὸν ἄνθρωπον διορίζειν.

Τοῖς τρισὶ τούτοις, οἱ περὶ ὧν ὁ λόγος, καὶ τέταρτον προστιθέασι, τὸ δεῖν τὸν ἄνθρωπον, τὸν εἰς τὸ πρᾶξαι ὁρμώμενον βουλητικῶς, κατ' αὐτὸ τὸ ἀκαρὲς, δυνηθῆναι ἂν καὶ πρὸς τοὐναντίον ῥέψαι θελήσαντα· καὶ τόδε δὴ τὸ Δ'. τὸ κυριώτερον εἶναι τῆς ἀρετῆς θεμέλιον διατείνονται.

§ 171. Ἀλλὰ τῶν οὕτω διανοουμένων πυνθάνομαι, εἰ μὴ ἐπὶ τοσοῦτον ὁ τῆς ἀρετῆς ἔρως προσαύξειν δύναται, καὶ τὸν διορισμὸν οὕτως εὐσθενῶς ἐστὶν ἐφ' ὧν ἐπισπᾶσθαι, ὡς τὸ πρὸς τοὐναντίον διορισθῆναι ἀδύνατον γίνεσθαι. Μὴ ἄρα, ὁ ἐν ᾧ δεῖ πράττειν, τὸν Θεὸν ἐνώπιον αὐτοῦ προορώμενος, καὶ ὅσον αὐτῷ ἐποφείλει διασκοπῶν, καὶ παρὰ μόνου τοῦ πανσθενοῦς, καὶ φιλανθρώπου Δημιουργοῦ, ἅπαν ὅ,τι ἀγαθὸν ἐλπίζειν ἀπεκδεχόμενος, μὴ ἄρα οὐχ οὕτως ἀκμαίως τε καὶ ἰσχυρῶς ὑπὸ τῶν τοιούτων διαλογισμῶν διατίθεσθαι δύναται, ὡς τὰς πρὸς τοὐναντίον διαθέσεις ἀπ' αὐτοῦ ἄρδην ἁπάσας ἐῤῥεῖν. Ἦ δυνήσεταί πως ἄλλως τὸ τηνικαῦτα ὁ οὕτω διακείμενος, ἢ πρὸς τὴν ἀρετὴν τῷ θελήματι ῥέπειν; ἢ ἐκ ἴσου αὐτῷ τοιᾷδε ὄντι, παρὰ τὸ καθῆκον πρᾶξαι, καὶ τὴν ἰδίαν ἑαυτοῦ φύσιν μετασκευάσαι; Ἠθική τις ἐπὶ τοῦ τοιούτου ἀνάγκη κρατεῖ, ἧς μέντοι παρούσης τὰ τῆς ἀρετῆς οὐκ ἐκκλείεται.



Τὶ οὖν οὐχὶ καὶ ἐπαίνων πολλῶν ἐπάξιος, ὁ ἐν τοιαῖσδε περιστάσεσιν ἀναστρεφόμενος;

Ἀλλ' ἀρνηθήσεταί τις ἤδη, ἐπὶ τοῦ γοῦν ὑποτεθέντος, τὴν μὲν ἀρετὴν ἐν ἀκμῇ εἶναι, τοῦ δὲ τετάρτου τῶν ἐπιζητουμένων μηδαμῶς δεῖσθαι; ἐκοῦν ἐκ τοῦ ἀκολούθου, οὐδὲ μεταξὺ τῶν τῆς ἀρετῆς θεμελίων ἐκεῖνο ἀριθμηθήσεται.

§ 172. Οἱ δ' ἄνευ τοῦ τετάρτου τῶν ἐπιζητουμένων, τὴν κατ' ἀρετὴν πρᾶξιν μὴ συγχωροῦντες, ὁμολογοῦσι τὸν τῆς ἀρετῆς πόθον, καὶ τὴν τοῦ νόμου γνῶσιν, συντελεῖν δῆτι πρὸς διορισμὸν τῆς βουλήσεως, τὴν γεμὴν ἀρετὴν ζητητέαν εἶναι, φασὶ, ἐν τῇ ἰσχύϊ ἣν ἡ ψυχὴ τοῖς τοιοῖσδε βοηθήμασι περιτίθησι, καὶ ἧς ἔχοι ἂν ἐκείνοις μὴ μεταδοῦναι. Ἀλλὰ πρὸς ταῦτα ἤδη φθάσαντες ἀπηντήκαμεν· καὶ γὰρ τὸ δραστήριον ἐπιτρέψαι, καὶ μὴ ἐπιτρέψαι, οὐκ ἔστι ταυτόν. Διὸ τὸν ἀνωτέρω προτεθέντα συλλογισμὸν (159) ἀναπεμπασαμένοις κἀνταῦθα, φανερὸν ἔσαι τοὺς οὕτω δόξης ἔχοντας, ἐπὶ τὸ μηδὲν τὴν ἀρετὴν ἀνάγειν.

§ 173. Τρίτη δὲ δόξα τέως περὶ ἐλευθερίας, ἐστὶν ἡ τῶν εἰσαγόντων τὴν εἱμαρμένην (139).

§ 174. Ταύτῃ δὴ ἐπ' εὐθείας ἀντιβαίνουσιν αἱ ἀνωτέρω ἀνθυπενεχθεῖσαι ἀπορίαι· ἐπειδὴ δὲ ἄλλως, καὶ οὐδενὶ ἑδραίῳ θεμελίῳ αὕτη ἐστήρικται, ὑπὸ μόνων αὐτῶν τῶν ἐνστάσεων περιτρέπεται. Ἀλλ' ὅπως δὴ αὐτὴ καὶ εὐθυτέροις



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγοις διελέγχεται, ἐν τοῖς ἀνωτέρω (144) εἴδομεν.

§ 175. Ὁ τῆς βουλήσεως διορισμὸς, ἐν οἷς ἐγχωρεῖ τὸ τῆς εἱμαρμένης, ἔργον αἰτίας ἐστὶ φυσικῆς, ἤτε προηγουμένη παθῶ, οὐκ ἂν εἴη τοῦ ἀντικειμένου διορισμοῦ κώλυμα ἰσοστάσιον. Ἡ γὰρ ἐκ μηχανικῆς αἰτίας γενομένη κατάπεισις, ἐκ μηχανικῆς ἂν αἰτίας καὶ μεταβάλοιτο· καίτοι οὐδὲ ὁ ἄνθρωπος δημιουργὸς αὐτὸς ἔσται τῶν ἑαυτοῦ πράξεων, οἵ,τε νόμοι ἀλυσιτελεῖς καὶ φροῦδοι, κτλ.

§ 176. Ὅτι γοῦν μόνη τῶν δοξασιῶν ἡ μέση, ἀληθείας ἐστὶν ἐχομένη, σαφῶς οἶμαι δέδεικται· ἔστι δὲ συνιδεῖν, ὡς ἡ αὐτὴ τοὺς ἀνθρώπους ἀπάτη, ἐπ' ἀμφοτέρας τὰς ἀντιθέτους ὑπολήψεις, τὴν πρώτην φημὶ καὶ τὴν τρίτην συνέωσεν.

Ἡ δὲ ἀπάτη ἡ τῶν ἀναγκῶν σύγχυσις ἐστὶ, τῆς τε ἠθικῆς, καὶ τῆς ἀπολύτου.

Ἔνθα, κατὰ γένος, δείκνυταί τινος τὸ ἀντικείμενον εἶναι ἀδύνατον, πάντες λέγουσιν αὐτὸ ἀναγκαῖον. Ἔνθα δὲ τὸ ἀναγκαῖον ὂν συνορᾶσι, πᾶσαν οἱ πολλοὶ διαστολὴν παρατρέχουσι, τῷ τρόπῳ τοῦ ἐξ ἐναντίας ἐναντίου, μηδὲν προσέχοντες, ἀλλὰ περὶ τῆς καθ' εἱμαρμένην ἀνάγκης λόγον εἶναι πιστεύοντες.

§ 177. Οἱ τὴν εἱμαρμένην εἰσάγοντες, ἠθικήν τινα ἀνάγκην ἐπὶ τοῦ διορισμοῦ τῆς βουλήσεως ἀποδεικνῦντες, εἱμαρμένην τὴν ἀνάγκην

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμπεραίνουσι ταύτην. Πρὸς τὰς ἐπαγομένας ἀκολουθίας οὐ πάνυ τι τὸν νοῦν ἀξιοῦσιν ἐφιστάνειν. Τῆς ἀρχῆς ἀληθευούσης, συγχωρητέα εἶναι διατείνονται καὶ τὰ ἑπόμενα.

§ 178. Οἱ δ' ἄλλοι τοὐναντίον συνορῶντες ἀληθεύειν μὴ πεφυκέναι τὰ ἑπόμενα ταῦτα, ψεῦδος εὐθὺς τῆς ἀρχῆς καταψηφίζονται, καὶ τὴν εἱμαρμένην ἀποβάλλουσιν· τὸ διάφορον ἀλλ' οὖν τῆς ἀνάγκης συγχέοντες, οὐδὲ τὴν κατ' ἦθος λεγομένην προσίεσθαι δεῖν ὑπολαμβάνουσι, μόνον εἰς καταφυγὴν αὐτοῖς τὸ ἀδιάφοροι ἀσφαλῶς ἔχειν πειθόμενοι, καὶ πρὸς ἄλλην οὕτως (ἣν οὐκ οἶδ' ὅπως ἄν τις ὀνομάσειεν) ἀνάγκην, ἀλόγως λανθάνουσι περιπίπτοντες (164).

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

## Περὶ τοῦ Ἀΰλου τῆς Ψυχῆς.

§ 179. Τὴν ψυχὴν εἴρηται συνῆφθαι τῷ σώματι (148). Ἡ δὲ συνάφεια αὕτη, πολλοὺς εἰς ἀπάτην, οὐκ ἄν ἔχοι τις εἰπεῖν ὅσον ἐπιβλαβῆ, περιέστησεν· ὑπέλαβον γὰρ τὴν ἐν ἡμῖν ψυχὴν σωματικὴν πεφυκέναι, καὶ τὰς κατ' αὐτὴν νοήσεις, μηδὲν ἢ κίνησιν τυγχάνειν τῶν ἐλαχίστων μορίων τοῦ σώματος.

§ 180. Οἱ δὲ, μηδὲν εἶναι κοινὸν κινήσει τε καὶ νοήσει συμβάλλοντες, μηδ' ἐγγενέσθαι ἀὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ μόνων κινημάτων τὸ τῆς νοήσεως τῷ σώματι διαπειθόμενοι, τὴν γεμὴν τοιαύτην δύναμιν, ἐκ αἀδυνάτως ἔχειν ἂν τοῖς σώμασιν ὑπὸ Θεᾶ ἐνεισαχθῆναι Φρονᾶσιν, ἔνθεντοι μηδ᾽ ἐξεῖναι ἡμῖν ἀσφαλῶς τὸ ζητᾶμενον ἐπικρίναι, πότερον σωματικὴ, φασὶν, ἡ ψυχὴ ἢ ἀσώματος.

§ 181. Διὰ βραχέων μέντοιγε τὸ προκείμενον ἐπιλύεσθαι ἡγᾶμεθα, δὶ ἁπλεστάτε ἐπιχειρήματος, ᾧ δῆλον, τὸ τῆς νοήσεως ἔργον, μηδενὶ προσιδιάζειν ὅλως τῶν ἐχόντων ἔκτασιν.

§ 182. Ἅπαν γὰρ ἐκτεταμένον, μέρη ἔχει τεταμένα ἐκτὸς μερῶν τεταμένων, ἢ ἐκ ἄντι τῷ ἐκτεταμένῳ ἀποδοθείη, ὃ μὴ συναποδιδῶτο ἅμα καὶ τοῖς αὐτᾶ μέρεσι. Θῶμεν ἂν ἤδη νοεῖν τὸ ἔκτασιν ἔχον ἤτοι γᾶν ἡ νόησις, τῶν σημείων ἑκάστῳ ὁλοχερὴς ἐπιθεωρεῖται, ὅπερ ἄτοπον, ἢ τῇ ὁλοχερεῖ ἐκτάσει ὁλικῶς ἢ αὐτῇ συνεκτέταται, ὥστε σὺν αὐτῇ, καὶ συνδιαιρεῖσθαι, ὃ τῇ φύσει τῶν νοερῶν προσλήψεων ἐμφανῶς ἀντιμάχεται.

§ 183. Εἰ δέ τις εἴποι, διαιρετὰς τὰς ἰδέας τυγχάνειν, καὶ ῥᾷστα τοιαύτην ἆσαν νοεῖσθαι τὴν ἰδέαν, τὴν τῆς ἐκτάσεως· αὐτὸ τὸ κατ᾽ ἰδέαν, ἀντὶ ταύτης αὐτῆς τῆς ἰδέας λαμβάνεσθαι ἀπαντήσομεν· ἀλλ᾽ ὁ τὴν ἰδέαν ἔχων, ὡς ἂρ ἔχει ἑαυτῷ σύνοιδε (105) καὶ ἐδεὶς μέντοι φύσει τὴν τοιάνδε συνείδησιν, διαιρετήν τε εἶναι, ἢ ἐκτεταμένην, καίτοι τῆς ἰδέας αὐτῆς ἀδιαχωρίστως ἔχᾶσαν, κἀκείνη συνδιαιρεῖσθαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκτεταμένη περ ὅση ὀφείλουσαν· οὐκ ἄρα τῷ αὐτῷ ὑποκειμένῳ προσιδιάσει τό, τε νοεῖν, καὶ τὸ ἐκτετάσθαι.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

## Ὅτι οὐκ ἔστιν ἡ Ψυχὴ αὐτὴ ἡ Νόησις.

§ 184 Εἴδομεν ὅτι τῶν οὐσιῶν ἰδέας οὐκ ἔχομεν (18)· τὰ γὰρ τῶν ὄντων πάθη μόνα γινώσκομεν. Ἀλλ' οἱ τοὐναντίον πρεσβεύοντες, τὰς οὐσίας φασὶν, ἀπὸ τῶν οὐσιωδῶν παθῶν, διακρίνειν ἥκιστα δεῖν, ἀπ' ἐκείνων, δηλονότι, ὧν ἀρθέντων, καὶ αἱ οὐσίαι ἀναιροῦνται.

§ 185. Τὸ σῶμα αὐτὴν εἶναι τὴν ἔκτασιν, τὴν ψυχὴν αὐτὴν εἶναι τὴν νόησιν ἐκδιδάσκουσιν· ἀρθείσης μὲν γὰρ τῆς ἐκτάσεως ἀναιρεῖσθαι τὸ σῶμα, καὶ τῆς νοήσεως ἀπαχθείσης, μηδὲν τῆς ψυχῆς περιεῖναι ἀναπείθονται.

§ 186. Ἀλλ' ὥσπερ δὴ τὴν ἔκτασιν χωρὶς τοῦ ἐκτεταμένου εἶναι ἀδύνατον, οὕτω δὴ καὶ ἡ νόησις τοῦ νοοῦντος ἄνευ οὐδὲν ἔσται.

§ 187. Οὔ φασὶ ψυχὴν τὴν νόησιν εἶναι μερικήν τινα, ἀλλ' οὐδὲν ἄλλ' ἢ τρόπον ἡγοῦνται τὴν ἐν μέρει νόησιν, αὐτῆς τῆς ἁπλῶς νοήσεως, ἣν ἀντὶ ψυχῆς εἶναι τιθέασι, κατ' ἀπείρους τρόπους διατίθεσθαι φύσιν ἔχουσαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 188. Ἀλλ' ἡ νόησις, ἐδὲν ἄλλο ἐςὶ παρὰ τὰς ἰδέας, ἃς ἡ ψυχὴ ἐπιδέχεται· οἱ γεμὴν ἐχ ἔτως ἐννοἕσι τὸ πρᾶγμα· τὰς μὲν γὰρ ἰδέας ἐδαμῶς, ψυχὴν δὲ εἶναι τὴν νόησιν αὐτὴν διατείνονται.

§ 189. Ἀλλ' ἰδέας ἡ ψυχὴ ἀμείβεσα, ἐκ ἀμείβεται, ἡ δέτοι νόησις ἀμείβεται. Οὔκεν φασὶν, ἀλλ' ὁ τρόπος ἀμείβεται τῆς νοήσεως.

§ 190. Ἐκ τέτων ἓν ἔπεσθαί μοι δοκεῖ, ὅτι παρεκτὸς τῆς παρέσης νοήσεως, καί τι ὑποκείμενον ὑποτιθέασιν, ἐ σαφῶς γινωσκόμενον, ᾧπερ ἡ παρἕσα νόησις ἐνυπάρχει, καὶ τἕτο τὴν ἐσίαν εἶναι τῆς ψυχῆς ὑποβάλλεσιν· νόησιν ὅμως καλεῖν ἀξιἕσι.

§ 191. Οὕτω δὴ φρονέντων αὐτῶν, περὶ φωνῶν ἡ ἔρις καθίςαται· ἐ κυριολεκτεῖν δὲ τέτες φανερὸν, τὴν τἕ ὀνόματος τῆς νοήσεως σημασίαν ἐκτόπως μεταλαμβάνοντας.

§ 192. Εἴ τις τῇ μνήμῃ τὸν Νἕν ἐπιςήσειε, τὴν τῆς ψυχῆς ἐσίαν τῆς νοήσεως διακεκρίσθαι ἐκ ἐνδοιάσει· ὑπὲρ ἀριθμὸν γὰρ εἰσὶ τῇ ψυχῇ αἱ ἰδέαι, αἳ ἰδιαιτέρῳ τινὶ τρόπῳ ἐν αὐτῇ ἀποκείμεναι, παρἕσαι μὲν ἐκ εἰσὶν, ἀνακαλέσῃ δὲ πάρεισιν. Ἄλλως γὰρ πως αὗται τῇ ψυχῇ παρεσιάζειν πεφύκασι, ἢ ἐ κατὰ τὰς ἰδέας, ἃς ἐδέποτ' ἄλλοτε παρεςώσας ἑαυτῇ ἔχει. Ἀλλὰ γὰρ νοήσειεν ἄντις ἐπιεικῶς, τὰς τοιάσδε ἰδέας τῇ νοήσει ἐνεῖναι;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 193. Εἰ δέ τις εἴποι, μὴ τῇ ψυχῇ τὴν μνήμην ἀνήκειν, τῷ δέτοι σώματι, καὶ ὅλως τῆς τοῦ ἐγκεφάλου συστάσεως ἐξηρτῆσθαι, μείζοσι δήπου ἐνσχεθήσεται ταῖς ἀπορίαις, ἐν ᾧ ταῦτα φησί. Μὴ γὰρ ἐξὸν αὐτῷ μνήμην ὅλως ἀποδοῦναι ταῖς χωρισταῖς σωμάτων οὐσίαις, καὶ ἡ τῶν νόων ἐκείνων νόησις ἀθρόα οἰχήσεται (104).

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

## Ἐπίκρισις τοῦ ζητήματος, εἴπερ ἡ ψυχὴ ἀδιαλείπτως νοεῖ.

§ 194. Οἱ τὴν ψυχὴν αὐτὴν εἶναι τὴν νόησιν φάσκοντες, ὅπως ἂν αὐτὸ καὶ ὑπολαμβάνοιεν, τὴν ψυχὴν ἀδιαλείπτως νοεῖν τιθέασι· ταύτῃ καὶ τῆς νοήσεως ἀρθείσης τὴν ψυχὴν ἀναιρεῖσθαι, ἐκ τῶν παῤ ἡμῖν ἰδεῶν κατασκευάζειν ἐπείγονται.

§ 195. Ἐὰν γάρ τις ἀπὸ τῆς ἰδέας, καθ' ἣν τὴν ψυχὴν νοοῦμεν, διαζεύξῃ, ἢ μᾶλλον διαστήσῃ τὴν ἰδέαν, καθ' ἣν τὴν νόησιν, οὐδεμίαν τὸ λοιπὸν ἰδέαν ἕξει αὐτῷ περιοῦσαν, ὃν δὴ τρόπον καὶ ἡ τοῦ σώματος ἰδέα οἴχεται, τῆς κατὰ τὴν ἔκτασιν ἀπαρθείσης. Διὸ οὐδὲ μᾶλλον ἂν ὑποσταίη ψυχὴ νοήσεως ἄνευ, ἢ σῶμα ἄνευ ἐκτάσεως· ἀλλ' ἡ πρὸς ταῦτα ἀπάντησις οὐ δυσχερής.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 196. Σῶμα καλῦμεν, τὸ παρὰ τὴν ἔκτασιν, ἢ ἑτέρων παθημάτων εὐμοιρῦν· ὃ χάριν κἀκείνης ἀναιρεθείσης, ἀναιρεῖται καὶ τῦτο.

§ 197. Ψυχὴν δὲ καλῦμεν, τὸ ἔχον τὴν δύναμιν τῦ νοεῖν, καὶ ταύτης ἀρθείσης τῆς δυνάμεως, κἀκείνη αἴρεται. Ἀλλὰ γὰρ ἐκ τῦτε διηνεκῶς τε καὶ ἀδιαλείπτως τὴν ψυχὴν νοεῖν ἥκιστα ἕπεται· ὐδὲ γὰρ ἡ τῆς δυνάμεως φύσις ἐξ ἀνάγκης τῦτο ἀπαιτεῖ.

§ 198. Εἴτις εἴποι ψυχὴν ἀποκαλεῖν τὸ ἀεὶ νοῦν, παρ' αὐτῷ μὲν κείσεται ὕτω φθέγγεσθαι· μένει δὲ τὸ ζήτημα τηνικαῦτα, εἴπερ ἡ ψυχὴ ἡ τῦ ἀνθρώπυ τῷ ὄντι τοιῦτον.

§ 199. Συγχωρῦμεν τοίνυν, ὅτι ἀρθείσης τῆς κατὰ τὴν νόησιν ἰδέας, ὐδ' ἡ τῆς ψυχῆς ὑπολείπεται· τῦτο μέν τοι ἐκ τῦτυ συμβαίνει, ὅτι μόνον τυτὶ τὸ πάθος τῆς ψυχῆς τυγχάνει ἡμῖν γινωσκόμενον, ἀλλ' ὐκ ἐντεῦθεν ἕπεται, μὴ ἢ ἄλλα τῆς κατὰ τὴν ψυχὴν ἀγνουμένης ἡμῖν ὐσίας, φέρεσθαι πάθη, ἅττα καὶ ἄνευ τῦ ἐνεργείᾳ νοεῖν ὑφίςασθαι δύναται.

§ 200. Δι' ὄπῆς ἐρυθρόν τι καθορῶ, περὶ ὗ ὐδὲν παρὰ τῦτο ἀσφαλῶς δύναμαι διορίσασθαι, ἀλλὰ μὴ παρὰ τυθ' ἕπεται, τὴν ὐσίαν τῦ τοιῦδε ὄντος αὐτὸ τυγχάνειν τὸ ἐρύθημα, ὅτι τύτυ τῆς ἰδέας ἀπύσης, ὐδὲν ἐμοὶ κατὰ τὸν νῦν περὶ αὐτῦ περιλείπεται; Διακριτέον γὰρ τὸ κατ' ἰδέαν ἀντικείμενον, τυτέςι τὸ κατὰ νῦν ἡμῖν παριςάμενον, αὐτῦ τῦ ἔξω ἡμῶν ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς πράγμασιν ὑφεστῶτος, οὗ μηδέποτε κατὰ πάντα, τὸ κατ᾽ ἰδέαν ἐννόημα γένοιτ᾽ ἂν παραστατικὸν, εἰ μὴ ἐπ᾽ ἀκριβὲς τὸ τοιοῦτο ἄλλως τύχοι ἡμῖν παριστάμενον.

§ 201. Ἀλλ᾽ ἵνα δὴ τρανώτερον τὸ τοῦ ἀνακριθέντος ἐπιχειρήματος ἀσθενὲς ἀναφανείη, παρατηρητέον, ὡς δέδοται μὲν ἡμῖν, μηδὲν τῶν τῆς ψυχῆς παρὰ τὴν νόησιν εἶναι γνώριμον, ἔστι μέντοι καὶ ἄλλο τι ἴδιον αὐτῆς γινωσκόμενον, τοιόνδε δηλαδὴ, οἷον μὴ ἐξεῖναι λέγειν, ἄνευ τοῦ κατ᾽ ἐνέργειαν νοεῖν, τυγχάνειν αὐτὸ ἀνυπόστατον.

§ 202. Ἔστι δὲ τοῦτο ἡ μνήμη, ἐξ ἧς μανθάνομεν, ὡς εἰσί τινες τῶν ἰδεῶν, ἰδιαιτέρῳ τινὶ τρόπῳ τῇ ψυχῇ ἐναποκείμεναι, καί τοι μὴ ἐνεργείᾳ παριστάμεναι (19[illegible]). Τίς οὖν διατείνοιτο ἂν, ὅτι πάσης, κατά τογε παρεῖναι, ἰδέας ἀρθείσης, τὰς τοιάσδε ἰδέας, τὰς εἴτε ἀνακαλεῖσθαι δυναμένας, ἢ καὶ αὐτομάτως πως τὴν ψυχὴν ὑπερχομένας, μηδαμῶς ὑπολείπεσθαι;

§ 203. Ἐπιφέρομεν τοιγαροῦν, ὡς εἰκῆ τε, καὶ οὐδενὶ σὺν λόγῳ τίθεται, ἀδιαλείπτως τὴν ψυχὴν ἐννοεῖν.

§ 204. Ἀλλ᾽ οὐδὲν ἧττον θρασεῖα ἡ δόξα τῶν διατεινομένων τὴν ψυχὴν ἐνίοτε μηδόλως νοεῖν. Ἐκ πείρας ἔχειν τοῦτο δῆλον αὐτοὶ φασὶν, ἀλλ᾽ ἐκ τῆς πείρας μηδὲν εἶναι τοιοῦτον οἷον καὶ διαπιστωθῆναι, ῥᾷστα ἂν δείξαιμεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 205. Συμβαίνει γὰρ (ὡς πάντες ἴσασι) πολλάκις ἐφ᾽ ἱκανὸν χρόνον τὲς ἀνθρώπες, ἕτω διάγειν, ὡς μηδὲν ἴχνος ἔπειτα γενομένης ἐν τῷ μεταξὺ ἐννοίας συνορᾷν ἔχειν καθ᾽ ἑαυτὲς, καὶ πάνυ ἐφιςάνοντας, ἀλλὰ τὸ πρῶτον τῷ ἐχάτῳ χρονικῷ μορίῳ τῇ διανοίᾳ συγχέειν, ὡς εἰ καὶ μηδέ τις χρόνε ὅλως παράτασις ἐγένετο μεταξὺ διαῤῥεύσαντος.

Γίνεται δὲ τὸ τοιῦτον ἐν ὕπνοις βαθυτέροις ἐνιότε, καὶ τῦ ἐγκεφάλε πεπιεσμένε ὁπωσῦν, ἢ τετρωμένε ἀείποτε.

§ 206. Ἀλλ᾽ ὐκ ἐντεῦθεν ἕπεται, μηδόλως τὴν ψυχὴν ἐν τέτοις διατελέσαι νοῦσαν· πάρεςι γὰρ τεκμήρι᾽ ἄττα λαβεῖν πολλάκις, ἐξ ὧν ὐ θέμις ἐνδοιάζειν, μὴ ὐχὶ ἐννοίας ὁποιασῦν καὶ τότε παρύσας τὴν ψυχὴν εἰληφέναι, ὁπότε δὴ, ὐδεμιᾶς τέτων ὑπολειπομένης, ἀνεπινοήτως πάμπαν ἐν ὁλοτελεῖ τῇ ἀργείᾳ τὸ νοητικὸν διαμεῖναι, ῥᾷς᾽ ἄντις πιςεύσειε.

§ 207. Οὐδὲν ὖν ἀποφαντέον ἀσφαλῶς ἡμῖν περὶ τέτε δοκεῖ. Τό,τε πότερον ἀδιαλείπτως ἡ ψυχὴ τυγχάνει νοῦσα, ἢ μή; ἐν ἐκείνοις ἀριθμητέον περὶ ὧν ὐδὲν ἐςὶν εἰπεῖν βέβαιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

# Περὶ τȣ̃ Συνδέσμȣ τῆς ψυχῆς μετὰ τȣ̃ σώματος, καὶ τῶν ἐκ τȣ́τȣ ἐφεπομένων.

§ 208. Δῆλον μὲν ὤφθη, ὅτι πᾶν τὸ νοȣ̃ν πόῤῥω ἐκτάσεως (181), ἀλλὰ γὰρ ἡ καθ' ἡμέραν πεῖρα ἐκτὸς πάσης ἵστησιν ἀμφισβητήσεως, τὴν μεταξὺ τῆς ψυχῆς καὶ τȣ̃ ὀργανικȣ̃ σώματος ᾧ συνῆπται, κοινωνίαν, περὶ ἧς ἀνωτέρω νύξιν τινὰ παρέχομεν (151).

§ 209. Ταύτης γȣ̃ν πρῶτον μὲν τὰ κυριώτερα τῶν ἑπομένων ὑποδείξω, ἔπειτα δὲ περὶ τȣ̃ τρόπȣ τῆς κατ' αὐτὴν ἑνώσεως διελεύσομαι.

§ 201. Τȣ̃ τῆς ψυχῆς μετὰ τȣ̃ σώματος συνδέσμȣ, πρώτιστον ἔργον, ὃ καὶ πρὶν (148) ἤδη ἔφθημεν ὑπομνησθέντες, ἐξ ȣ̃τε τὰ λοιπὰ ἐπιφέρεται, τὸ ἐννοίας ὡρισμένας, ὡρισμέναις κινήσεσιν ἀντιστοιχεῖν, καὶ τὴν ἐνέργειαν τῶν τῆς ψυχῆς δυνάμεων, ἐκ τῆς ὑγιȣ̃ς τȣ̃ σώματος καταστάσεως ἐξηρτῆσθαι, ὥστε τῶν μερῶν τινος ἀτακτȣ̃ντος ἐκ ταραχῆς ὁποιασȣ̃ν ἐπισκηψάσης, μηδὲ τὸ βȣλητικὸν τῆς ψυχῆς ὑπὸ τȣ̃ λόγȣ διεξάγεσθαι, ἀλλὰ τȣ̃ φρονεῖν διαστρεφομένȣ τῷ ἀνθρώπῳ, καὶ τὸ ἐλεύθερον οἴχεσθαι (154).

§ 211. Ἐντεῦθεν τῷ αὐτῷ συνδέσμῳ, καὶ αἱ διαφέρȣσαι ἐν ἀνθρώποις κλίσεις τε καὶ ῥοπαὶ ἀπονέμονται, καὶ δὴ καὶ τὸ μᾶλλον καὶ ἧττον



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἐν αὐτοῖς ἀγχινοίας· καίτοι γε οὐ πάντῃ ἀποφαινόμεθα, ἐκ τῆς μετὰ τοῦ σώματος ἑνώσεως, ὡς ἐκ μόνης αἰτίας, τὰς ἐπὶ τῶν ψυχῶν καθορωμένας συμβαίνειν διαφοράς. Οὐδὲ γὰρ ἄλις γνώριμον ἔχειν ταύτης τὴν φύσιν κατείδομεν, ὥστε μόνῳ τῷ σώματι τὸ διαφέρον τῆς ἐν ἀνθρώποις εὐφυΐας τε καὶ ἀφυΐας πεποιθότως προσάπτειν, πλεῖστα μέντοι καὶ ἀπὸ τῆς τοῦ σώματος καταστάσεως ἐν τούτοις τὴν ἀρχὴν ἔχειν, οὐδεὶς οἶμαι ἔξαρνος γένοιτο· ὁσάκις γὰρ τῇ σωματικῇ ἕξει ἀμειβομένῃ, καὶ τὸ εὐφυὲς τῆς ψυχῆς καὶ γενναῖον κατείληπται συνεξαμειβόμενον.

§ 212. Καὶ τῶν ψυχικῶν δὲ διαθέσεων, ἃ **πάθη** καλοῦσι, τὴν ἀρχήν, ἐξ αὐτοῦ τοῦ μεταξὺ ψυχῆς τε καὶ σώματος συνδέσμου ἀνακαλύπτομεν· τῆς γὰρ ψυχῆς σφοδρότερον διατιθεμένης, βιαιοτέρα ἐνδιεγείρεται τῷ σώματι καὶ ἡ κίνησις· κἀκ τούτου δ' ἀνάπαλιν, τὸ κατὰ ψυχὴν πάθος ἀκμὴν ὀξύνεται, καὶ τῇ ἀμοιβαδὸν ἐπενεργήσει ἀμφοτέρων, ἐς τοσοῦτον ἡ ταραχὴ ἀκμῆς τε καὶ μεγέθους πρόεισιν αὔξουσα, ὥστε καὶ τὸ ἐπὶ τῶν τοιῶνδε κινημάτων ἀποβάλλειν τὴν ψυχήν, ὅπερ ἔχειν εἴωθεν ἐπὶ τοῦ σώματος κράτος, καὶ τὰς ἀπαντώσας ἐξ αὐτῶν ἰδέας, μὴ δύνασθαι ἀπαγαγεῖν, ὡς τὴν ἐνεγερθεῖσαν θύελλαν καταστορέσαι καὶ κατευνάσασθαι.

§ 213. Οὐ δεῖ δὲ τοῖς κατὰ ψυχὴν κυρίως λεγομένοις πάθεσιν, ἅπασαν τῆς ψυχῆς βιαιοτέραν ἀνάγειν διάθεσιν· οὐ γὰρ εἰς ταῦτα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναθετέον, εἴ τινα, ᾗπε συμβαίνει, ἐκ σωματικῆς οἶδε κινήσεως τὴν ἀρχὴν, ὡς ἐπὶ τῶν μαινομένων, ἢ ἐπὶ τῶν ὀξὺ πυρεσσόντων, ἀλλ' ἐκεῖνα μόνον ὧν ἐκ τῆς ψυχῆς τὸ ἐνδόσιμον τῆς ταραχῆς, ἀφ' ἧς πρῶτον ἡ κίνησις κοινωνεῖται τῷ σώματι.

§ 214. Ἀλλὰ καὶ τὸ τῆς μνήμης ἐν τούτοις συνεπισκεπτέον. Τὴν δύναμιν ταύτην ἀνωτέρω πε διεσημειώσαμεν (192), ἐν οἷς ἡμῖν καὶ τόδε παρατετήρηται, μὴ ἁπλῶς δεῖν τῷ σώματι αὐτὴν προσανάπτεσθαι· τὶς γὰρ ἐπὶ τῶν χωριςῶν τῆς ὕλης εἰδῶν, Μνήμην εἶναι, ἐπιεικῶς ἐνδοιάσειεν (193);

§ 215. Ἐπὶ δὲ ἀνθρώπε, ἐπεὶ πᾶσαι τοῖς σωματικοῖς τῶν κινημάτων αἱ νοήσεις ἀντιςοιχεσι, διασκεπτέον καὶ τάςδε τὰς κινήσεις, ἐπειδὰν ὁ λόγος ἐςὶ περὶ τῆς τῶν ἰδεῶν ἀνακλήσεως. Ἡ γὰρ αὐτὴ κίνησις ἐπαναληπτέα τῆς αὐτῆς ἐπανιέσης νοήσεως, ἐν ᾧ γὰρ αὖθις κατὰ τὴν ψυχὴν ἡ ἰδέα παρίςαται, κατὰ τὸ αὐτὸ καὶ ἡ κίνησις ἐπαναςρέφει· ἐφ' ὅσον τε πυκνότερον τετο συμβαίνει, εὐπετέςερόν τε καὶ τὸ τῆς κινήσεως ἐπαναλαμβάνεται, καὶ τὸ τῆς ἰδέας ἀνακαλεῖται. Τηνικάδε δὲ καὶ καθεύδοντι, καὶ νοσεντι, ὑπὸ φυσικε τινὸς αἰτίε, τὴν αὐτὴν συμβαῖνον διεγείρεσθαι κίνησιν, παρὰ πόδας εὐθὺς τῇ ψυχῇ καὶ ἡ ἰδέα ἐπανήκει.

§ 216. Ἐκ τῶνδε ἐπιφέρομεν, ὡς τῷ σώματι ἀποδοτέον ἂν εἴη, ὅπερ ὁσημέραι τὴν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεῖραν ἔχομεν, τὸ τὰς παλαιωθείσας ἐν ἡμῖν ὑπολήψεις, μὴ ῥαδίως ἔχειν ἡμᾶς ἀποτρίψασθαι, αὐτῶν ἀμφιλαφῶς ἐχομένους, κἂν ἄλλως ἐπισφαλεῖ τῷ θεμελίῳ ἐπερειδομένων αὐτῶν αἰσθανοίμεθα. Ἔτι δὲ καὶ τόδε εὐμαρές ἐστιν ἀναπτύξαι τοῦ χάριν, ἐπὶ τὰς ἀρχαίας ἀπάτας, καὶ τοῖ λόγοις ἰσχυροτέροις ἤδη καθαιρεθείσας, ῥαδίως οἱ ἄνθρωποι ἐπαναστρέφειν πεφύκασι.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

## Περὶ τοῦ τρόπου καθ᾽ ὃν τῷ σώματι ἡ ψυχὴ συνέζευκται.

§ 217. Ἄχρι τοῦδε περὶ τῶν παρεπομένων ἡμῖν διείληπται τῷ συνδέσμῳ δυεῖν φύσεων, ἐν αἷς οὐδὲν κοινὸν συνιδεῖν δυνάμεθα, ἤδη δὲ περὶ αὐτοῦ τοῦ συνδέσμου διαληπτέον.

Πολλὴ μὲν ἐκ πρώτης ἐπιβολῆς αὐτίκα ἀναφαίνεται τοῦ σκέμματος ἡ δυσχέρεια· καὶ ὅσω δέτοι ἐπιμελέστερον τοῦτο διερευνώμεθα, τοσούτω μᾶλλον, τὸ τῆς δυσχερείας προσαύξεται.

§ 218. Περὶ τῆς τοιᾶσδε συζυγίας πιθανωτέρα ἔοικεν ἡ δόξα τῶν οἰομένων, τὴν ψυχὴν τοῦ ἀμέσως ἐπενεργεῖν τῷ σώματι, δύναμίν τινα κεκληρῶσθαι καὶ κράτος, καὶ ἀνάπαλιν τὸ σῶμα τῇ ψυχῇ· τὴν δὲ δύναμιν ταύτην ἐπίῤῥοιαν καλοῦσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 219. Τῆσδε τῆς δόξης μόνον ὑποστήριγμα, ἡ πεῖρα ὑπόκειται.

§ 220. Οἱ τἀναντίον ὑπειληφότες, τὴν μὲν πεῖραν ἀθετοῦσι, τὴν δὲ δόξαν πολλοῖς ἐπιχειρήμασι βάλλουσιν, ὧν ὁ θεμέλιος, τὸ μηδὲν ἡμᾶς συνορᾷν ἔχειν κοινὸν, μεταξύ γε τῆς νοήσεως ἐγχωρεῖν, καὶ τῶν, ὅσα ἡμῖν δῆλα, ἰδιωμάτων τοῦ σώματος.

§ 221. Ἀποφάσκουσιν οὖν, ὡς εἴρηται, ἐκ τῆς πείρας καταφαίνεσθαι τὸ ὑποτιθέμενον ἐπὶ τοῦ σώματος τῆς ψυχῆς ἄμεσον κράτος. Τὸν βραχίονα βούλομαι κινῆσαι, καὶ κινῆται μοι ὁ βραχίων. Τοῦτο, φασὶν, οὐ δείκνυσι, κινήσεώς τινος τὴν ψυχὴν μεταδιδόναι τῷ σώματι, ἀλλ' ἢ μόνον βούλησιν ἐμφαίνει τῆς ψυχῆς θελούσης τὴν κίνησιν, ἡ δὲ κίνησις, ἄλλοθεν δηλονότι, συντρέχει, μηδὲ εἶναι λόγον διὰ τοῦτο, τοῦ θάτερον ὑποσυνάπτειν, θατέρου τυγχάνειν κυρίως αἴτιον· ἀλλ' ἄμφω οὕτω διεξάγεσθαι, ἢ θάτερον γοῦν οὕτω διϊθύνεσθαι, ὥστ' ἐξ ἀνάγκης συντρέχειν ἑκάτερον.

§ 222. Μηδέν τε παρὰ ταῦτα φασὶν ἐκ τῆς πείρας οἴοντε εἶναι συνάπτειν, καὶ διὰ τὸ τὴν ἐπιῤῥοὴν ταύτην εἶναι ἀδύνατον· ἐφ' ᾧ δὲ τοῦτο κατασκευάσαι, τοιοῖσδε χρῶνται τοῖς ἐπιχειρήμασι.

§ 223. Τῇ τοῦ ἀέρος κινήσει, νεύρῳ τινὶ ἰδιάζοντι κοινωνουμένης τῆς κινήσεως, τὸ τοῦ ἤχου παραυτίκα τῇ ψυχῇ διεγείρεται αἴσθημα. Αἱ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφ' ἡλίε ἀκτῖνες, διὰ τῶν ὀμμάτων χωρἕσαι, νεῦρον ἕτερον διακινἕσι, καὶ ἡ ψυχὴ τὸ φῶς διοπτάνεται.

Ἐὰν τῇ παρ' ἑαυτἕ κινήσει τὸ νεῦρον ἐπενεργῇ τῇ ψυχῇ, ἤτοι πάντως ἡ κίνησις αὐτῷ ἀπομειωθήσεται τῇ μεταδόσει, ἢ μὴ ταύτης ἐκμειεμένης, ἔςι δήπε τὸ ἐνιςάμενον, καὶ διακωλύον τὴν ἀπομείωσιν· τἕτέςιν, ἔςι τὸ τὴν κίνησιν ἀνοικοδομἕν καὶ ἀνακαινίζον. Ἀλλ' ἐπ' ἀμφοῖν ἔνςασις ἐπιζητεῖται. Τὶς γὰρ ἂν ποτε, σῶμα διὰ κινήσεως δρῶν ἐννοήσειεν, ἄνευ τινὸς ἔνςασιν ἐπιφέροντος.

§ 224. Ἐνίςαται ἄρα ἡ ψυχὴ, καὶ ἤτοι τὴν τἕ νεύρε κίνησιν ἀναιρεῖ, ἢ ὑπομειοῖ, ἢ γἕν, εἰ μηδὲν ἄλλο, τὴν τῇ σωματικῇ ἐνεργείᾳ ἐξ ἀνάγκης παρεπομένην ἀπομείωσιν, ἀναπληροῖ. Ἀλλὰ μὴ, τὸ μὴ ἔνυλον πεφυκὸς ἀντέχειν τῷ σώματι δύναται; Τὶς ποτὲ τἕτο τολμήσειεν ἀποφήνασθαι;

§ 225. Ὡσαύτως, καὶ ἐὰν ἡ ψυχὴ τὸ σῶμα κινῇ, ἐνςήσεται τἕτο, ἀντεπενεργήσει δηλονότι τῷ κινἕντι, τἕτέςι τῇ ψυχῇ· τὴν δὲ τῆς ἐνςάσεως, ἀπὸ τῆς κατὰ τὴν ἐνέργειαν ἰδέας διιςᾷν ἐχ οἷόντε. Ἑπόμενον ἄρα τὴν ψυχὴν αὖθις ἐνίςασθαι, ὃ τῇ αὔλῳ φύσει ἐςὶ μαχόμενον.

§ 226. Καὶ πολλὰ δὲ ἕτερα προςιθέασι, περὶ ἁπασῶν τῶν ἐν τῷ παντὶ κινήσεων, τἕτέςι τῶν ἐν τῷ καθ' ἡμᾶς συςήματι τῶν πλανητῶν, αἱ δὴ κινήσεις, ἐκ φυσικῶν τινῶν θεσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μῶν ἀλλήλοις ἀντιστοιχοῦσιν· ὅθεν καὶ ἡ μεταξὺ τῶν σωμάτων ἀπαράβατος διασώζεται τάξις, ἥτις ἂν ὁσώραι διεκταράττοιτο, εἰ ἐκ τῶν ἀσωμάτων ὄντων, τροπὴν ἠδύνατο πάσχειν τὰ τῆς κινήσεως.

§ 227. Ἐκ τούτων ἐπιφέρουσιν ἐκσυρικτέον εἶναι τὴν ἀμοιβαίαν ἐπιῤῥοήν, τῆς τε ψυχῆς ἐπὶ τὸ σῶμα, καὶ τοῦ σώματος ἀνάπαλιν ἐπὶ τὴν ψυχήν.

§ 228. Ἀποβληθείσης τῆς ἐπιῤῥοῆς, εἰς δύο ἕτερα συστήματα οἱ φιλοσοφοῦντες περιπεπτώκασιν, ὧν τὸ μὲν ἐστὶ τὸ **κατ᾽ ἐπιστασίαν** τοῦ Μαλεβραγχίου, ὃ καὶ τῶν ἐξ ἀφορμῆς αἰτιῶν καλεῖται, τὸ δέ, τὸ κατὰ τὴν **προδιατεταγμένην ἁρμονίαν** τοῦ Λεϊβνιτίου.

§ 229. Ἐπ᾽ οὐδετέρῳ δὲ τούτων τῶν συστημάτων, ἀληθῶς τε καὶ κυρίως τοιαύτη κοινωνία τις συγχωρεῖται, μεταξὺ ψυχῆς τε καὶ σώματος.

§ 230. Οἱ τὰς κατ᾽ ἀφορμὴν αἰτίας εἰσάγοντες, τὸν Θεὸν αὐτὸν ἐννοοῦσι, τῆς μεταξὺ ψυχῆς τε καὶ σώματος κοινωνίας ἀρχηγόντε εἶναι, καὶ ἀμέσως παραίτιον.

Ἡ μὲν ψυχὴ βούλεται, ὁ δὲ Θεὸς κινεῖ. Θέλω τὴν σφαῖραν προϊέναι, Θεὸς δέ μου τὸν βραχίονα ἐκτείνας, τῇ παλάμῃ τὴν σφαῖραν παρατίθησι, κλείει τέ μου τοὺς δακτύλους, εἰς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ταύτης κατάληψιν, κτλ. . . . καὶ γίνονται μοι ἀπ' ἀκριβὲς αἱ κινήσεις αἵδε πᾶσαι, ἐϑ' ἂν αὐτὸς βέλωμαι, διὸ ἢ ταύτας αὐτὸν ἐμὲ ἐκτελεῖν πεπίςευκάτε καὶ πέπεισμαι.

§ 231. Τὸν αὐτὸν δέπε τρόπον, καὶ τῶν ἐκτὸς σωμάτων τοῖς νεύροις ἐπενεργέντων, τῶν ἐντεῦθεν ἀναφυομένων προσλήψεων τὸ Θεῖον παραίτιον· τῇ χειρίμε τῆς σφαίρας προσαρμοζομένης, ἐκ αὐτὸς ταύτης αἰθάνομαι, ἀλλ' ὁ Θεὸς τῆς ἐπαφῆς τὴν πρόσληψιν ἐςὶ παρεχόμενος. Ὁ μὲν ἀὴρ τῷ τυμπάνῳ τε ὠτὶς προσβάλλει, αὐτὸς δὲ τὸν ἦχον προσλαμβάνω, ἀλλ' ἐκ ἀπὸ τῆς τε ἀέρος προσβολῆς κυρίως τὸ αἴϑημα, ἐδὲ μὲν ἒν ἀπὸ τῆς παρασυμβαινέσης ταύτῃ ἐν τῷ νεύρῳ κινήσεως. Θεὸς δὲ ἐςὶν ὁ τῇ ψυχῇ ἀμέσως τὴν τοιαύτην πρόσληψιν ἐνιείς.

§ 232. Τὴν δὲ δὴ ἄμεσον ταύτην τε Θεε ἐνέργειαν, ἐπεκτείνεσι καὶ ἐπὶ τῆς κατὰ τὴν κίνησιν κοινωνίας, ἡνίκα σῶμα, προσβάλλει ἑτέρῳ σώματι.

§ 233. Τῶν τῆς ἐπιῤῥοῆς τὸ σύςημα ἐκσυριττόντων, πολλοί εἰσὶν, οἱ καὶ τόδε τὸ δεύτερον ἐκσυρικτέον εἶναι ἡγέμενοι· μηδὲ γὰρ τῇ τε Θεε σοφίᾳ συνᾷδον εἶναι φασὶν, ἐνδελεχῶς τὸν Θεὸν ἐνεργεντα ἕτω παριςᾶν. Οὐδ' ἄλις φιλόσοφον εἶναι προςιθέασιν, ἐπὶ τὴν τε Θεε συνδρομὴν διηνεκῶς ἀνατρέχειν, δέοιτι τῶν φαινομένων ἰδίᾳ διερμηνεύσασθαι· ἐφ' οἷς, καὶ τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψυχῆς καὶ σώματος σύνδεσμον κατὰ τὴν τοιαύτην δόξαν, θαυμάσιόν τι διατελεῖν ἀδιάλειπτον.

§ 234. Προστιθέασιν ἔτι, ὡς κατὰ τὴν ἀνθρώπων ἔτω βέλησιν, διηνεκῶς ἡ τῶν πραγμάτων διαταραχθήσεται τάξις, τῇ γενέσει ἀεὶ καινοτέρων κινημάτων, καίτοι τῦ Δημιεργῦ εἰς τῦτο μεσιτεύοντος.

§ 235. Αἱ μὲν ὖν ἀπορίαι αὗται, ἐπὶ τὸ τρίτον ἤγαγον τῶν συστημάτων, τὸ κατὰ τὴν προδιατεταγμένην ἁρμονίαν λεγόμενον.

§ 236. Κατὰ τῦτο δὴ, ἡ ψυχὴ καθ' ἑαυτὴν δύναμιν ἔχει, τῦ ὁποίασδήποτε προσλήψεις παράγειν, ὐδέν τε ἧττον καὶ αὐτὰς τὰς κατ' αἴσθησιν· οὕτως ὥστε τὴν κατάστασιν, ἐν ᾗ ἡ ψυχὴ, καθ' ὁποιονῦν ἀκαρὲς, ἔχει, ἐκ τῆς κατὰ τὸ ἀμέσως προηγησάμενον ἕπεσθαι· καὶ τῦτο δὲ κατὰ θεσμὺς τινὰς τεταγμένυς, ὐκὺν μὲν φυσικὺς δήπυ, ἀλλ' οἷοι δήπυ τῇ νοερᾷ φύσει εἰσὶ προσήκοντες.

§ 237. Διὰ δὲ ταύτην τὴν περιῦσαν δύναμιν, πνευματικὸν οἷον αὐτόματον (τυτέστι μηχάνημα) ὁ Λεϊβνίτιος τὴν ψυχὴν ἀπεκάλεσεν· ὅπερ ὀρθῶς νοέμενον, ἢ παρά τε τῦ Λειβνιτίυ αὐτῦ, καὶ τῶν ἐκείνυ ὀπαδῶν ἀναπτύσσεται, ὔτε τὸ τῶν ἀνθρωπίνων πράξεων ἐλεύθερον ἀναιρεῖ, ὔτε τὸ ἐνδεχόμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 238. Καὶ ἐδεμία ἄρα ἐναπαιτεῖται ἔξωθεν ἐνέργεια ἐπακτὴ, ὥςε τῇ ψυχῇ, τὰ ἄττα τύχοι αἰϑήματα, εἴτεν προσλήμματα ἐνεργηθῆναι. Φῶς καθορῶ, ἦχε ἀκέω, ἡ ψυχὴ ἐςὶν ἡ τὰς τοιάςδε προσλήψεις ἀπογεννῶσα. Τὸ λάχιςον γἔν, ἐν τῇ ψυχῇ εἰσὶ τὸ τηνικαῦτα, ἐκ τῆς ἐμφύτε τῆς ψυχῆς συςάσεως.

§ 239. Τὸ δὲ ἀνθρώπινον σῶμα, μηχάνημά τι ἐςὶν ὑπὸ Θεἔ τεχνιτευθὲν, ὥςε καθ' αὐτὸ κινέμενον, τετέςι κατά τινας κινήσεων θεσμὲς τεταγμένες, πάντα παρέχεσθαι, ὅσα ἐν τῷ σώματι παντὸς ἀνθρώπε παρατηρεῖται γινόμενα.

§ 240. Ὁπότε γὰρ ἄνθρωποι, κατασκευάζειν δύνανται τινὰ μηχανήματα, ἔςιν ἃς τῶν ἀνθρωπίνων ἀπομιμέμενα πράξεων, ϗ τὸν Θεὸν εἰκὸς, κατασκευάσαι ἄριςα δυνηθῆναι τοιἔτον οἷον μηχάνημα, ὃ ἂν μηχανικῶς ἅπαντα ἐκπεραίνοι τὰ τἔ ἀνθρώπε, διὰ βίε, καὶ ἐν ᾧ πάντα συμβαίνοι, ὅσα τῷ ἀνθρωπίνῳ ἐγχωρεῖ σώματι. Τἔτο μὲν ἔν ϗ πανυ διατείνονται οἱ τῆς δόξης ταύτης προςάται, ἐπεὶ ϗ ὁ τῶν κινήσεων ἀριθμὸς ἐςὶν ἄπειρος.

§ 241. Ἐννόει μοι ἤδη ψυχήν τε ϗ σῶμα, ἔτως ἀλλήλοις συμφώνως βαίνοντα, ὡς τὰ ἐν τέτῳ κινήματα, ταῖς ἐν ἐκείνῃ προσλήψεσίτε καὶ προθέσεσιν ἀντιςοιχεῖν, καὶ τὸ πᾶν ἕξεις τἔ ἀποῤῥήτε τῆς συζυγίας ψυχῆς τε ϗ σώματος. Τὴν ἔν συμφωνίαν ταύτην ϗ σύμπνοιαν ἁρμονίαν προδιατεταγμένην κατονομάζεσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 242. Οὕτως ὁ Θεὸς ταῦτα διέθετο, ὡς ἔχειν δὴ ψυχὴν ἑκάστην τὸ σῶμα τὸ ἑαυτῆς, ἐν ᾧ αἱ κινήσεις, ταῖς ἐν αὐτῇ ἐκείνῃ συμβαινέσαις μεταβολαῖς συμφώνως βαίνωσιν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

## Τῶν διαφόρων δοξασμάτων, τῶν περὶ τᾶ μεταξὺ ψυχῆς τε καὶ σώματος συνδέσμε, παράθεσις.

§ 243. Τὰς περὶ τᾶ μεταξὺ ψυχῆς τε καὶ σώματος συνδέσμε, διὰ βραχέων ὑφηγησάμενος δόξας, τί δήποτε περὶ αὐτῶν ἐμοὶ παρίσαται λέγειν ἤδη ἐρῶ, ἐκεῖνο μόνον περὶ αὐτᾶ τᾶ ζητεμένε ἡδέως προομολογήσας, ὅτι πολλῇ μοι δοκεῖ τῇ ἀσαφείᾳ συνειλιμένον, καὶ πάνυ δυσδιάλυτον.

§ 244. Πρὸ γὰρ πάντων συνορᾷν ἐχ οἷος τε εἰμὶ, τῷ τρόπῳ ἡ ψυχὴ ἐπενεργεῖν ἂν ἔχοι τῷ σώματι· πρὸς δὲ τέτῳ ἐδ᾽ ἐκεῖνο συνίημι, πῶς τῇ τᾶ νεύρε κινήσει τὰ τῆς προσλήψεως ἕπεται· ἐμὴν ἀλλ᾽ ἐδ᾽ ἔτω τέτων ἐχόντων, ἐξ αὐτῶν ἐπάγεσθαί μοι δοκεῖ, τὸ πᾶσαν δήποτε ἐπιῤῥοὴν ἐν τέτοις δεῖν ἀποβάλλεσθαι.

§ 245. Τὰ τῶν ἐσιῶν πόῤῥω ἐλήλαται τῆς καθ᾽ ἡμᾶς γνώσεως, ἐφ᾽ οἷς καὶ τὴν τῆς ψυχῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φύσιν ἡμᾶς λανθάνεσαν εἴδομεν. ἴσμεν εἶναι ἐκ οἶδ' ὅ,τι ταύτην, τὸ ἰδέας ἔχον τινὰς, ἢ ταύτας παραβάλλον, κτλ. ἀγνοεμεν δὲ τὶ τὸ ὑποκείμενον ἦν, ᾧ τὰ τοιάδε πάθη ἐςὶ προσήκοντα.

§ 246. Τὸ δ' αὐτὸ καὶ περὶ τε σώματος λέγομεν· ἐκτεταμένον ἐςὶν, ἀδιαχώρητον ἐςὶ, κτλ., ἀλλ' ὁποῖον τι τὸ ᾧ ταῦτα τὰ ἴδια πρόσεςιν; ἐδεμία ἡμῖν ἠνέῳκται ὁδὸς, δι ἧς ἂν ταύτης ἐφικέσθαι τῆς γνώσεως δυνηθείημεν.

§ 247. Ἐντεῦθεν συνάγομεν, πολλὰ ἡμᾶς τῶν παθῶν διαλανθάνειν τῶν ἀνηκόντων ψυχῇ καὶ σώματι.

§ 248. Ἐξ ἀναντιῤῥήτε δῆλον ἡμῖν ἀποδείξεως, ὡς ἐδ' ἡ ψυχὴ εἰς τὸ σῶμα, ἐδ' εἰς ἐκείνην τετο ἀνάπαλιν, ὥσπερ σῶμα εἰς σῶμα ἕτερον ἐνεργεῖ. (223 κξ.) Ἀλλ' ἥκιςα μοι δοκεῖ, συμπεραίνειν ἐντεῦθεν ἐξεῖναι, πᾶσαν τὴν πρὸς ἄλληλα τέτων ἐπιῤῥοὴν εἶναι ἀδύνατον.

§ 249. Διὰ κινήσεως σῶμα εἰς σῶμα ἕτερον ἐκ ἐνεργεῖ ἄνευ ἐνςάσεως, ἀλλὰ μὴ ἐ δύναιτό τις ἐνέργεια διαφέρεσα, ἐσίᾳ διαφερέσῃ προσανήκειν, κᾂν ἰδέαν αὐτῶν μὴ φέροιμεν; ἔτω δὲ, ὡς τὴν ἀναφορὰν ἐν τέτοις, τὴν μεταξὺ τῆς αἰτίας ἢ τε αἰτιατε διασώζεσθαι; ἐφ' ἔτως ἀσαφεῖ τε πράγματος, τὸ δοκεῖν ἀποφήνασθαι ὡρισμένως ἐκ ἂν τολμήσαιμι. Ἔργον ἦπε τὰ τῆς ἐπιῤῥοῆς ἀπαναίνεσθαι, ἀκρι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βῶς ἀναλογιζομένοις, ὅπως κἂν τοῖς ἐλαχίςοις ὧν ἡ ψυχὴ προσλαμβάνει, ἡ πρὸς τὰ τȣ̃ σώματος κινήματα, ἐμφαίνεται σχέσις, ὅπως τε αἱ ἐν τȣ́τῳ προσβολαὶ, τοῖς ἐκείνης διορισμοῖς συμφώνως προβαίνȣσι; λέγω δὲ ταῦτα ἐκείνοις δηλονότι τὸν νȣ̃ν προσέχων, οἷς ἰατρῶν παῖδες, καὶ ἀνατόμων, περὶ τȣ́των ἡμᾶς ἐκδιδάσκȣσι.

§ 250. Οὐδὲν ἓν περὶ τῆς πρώτης ἀποφαίνομαι δόξης, ἢ ὅτι, ἔπει μοι δοκεῖ προφανῶς ἀποδεδεῖχθαι περιπίπτειν αὐτὴν εἰς ἀδύνατα.

§ 251. Ἀλλ᾽ ἐπὶ τὴν παράθεσιν τῶν τριῶν δοξασιῶν πρὸς ἀλλήλας, μεταβατέον.

Ἀπ᾽ αἰῶνος προθέμενος ὁ Θεὸς, τῇ διαδοχῇ τῶν πραγμάτων, ἧς μέρος καθ᾽ ἑκάςην ὁρῶμεν, δȣ̃ναι τὴν ὕπαρξιν, ἐν ἁπλῇ μιᾷ προσβολῇ, τῇ προαιωνίῳ αὐτȣ̃ γνώσει τὸ σύμπαν τῆς τοιαύτης διαδοχῆς προσυνείληφε, τὸν αὐτὸν δήπȣ τρόπον συνιδὼν, ἅτε ἅμα, καὶ ἅπερ ἐκ διαδοχῆς εἶναι ἔμελλεν. Ἐθελήσαντος δὲ τȣ̃ Θεȣ̃, τὴν διαδοχὴν ταύτην εἶναι, αὕτη ἐςί. Ἡ δὲ τȣ̃ Θεȣ̃ βȣλὴ, ἡ μὴ μόνον τὰ κατὰ γένος ἀφορῶσα, ἀλλὰ καὶ διὰ τῶν καθ᾽ ἕκαςα πάντων διήκȣσα, καὶ μηδὲ τὰ ἐλάχιςα παρορῶσα, μεταβολῆς οἱασȣ̃ν καὶ ἀλλοιώσεως κρείττων ȣ̃σα, τροπὴν ȣ̓δέποτε ȣ̓θ᾽ ὑπέςη, ȣ̓δ᾽ ἂν ὑποςαίη. Ἀλλ᾽ ἐκ τῆς ἀτρέπτȣ βȣλῆς αὐτȣ̃ ἡ τροπὴ τῶν ὄντων ἐξήρτηται. Ἡ γὰρ τȣ̃ Θεȣ̃ ἐνέργεια καθ᾽ ἥν τι γίνεται, τῆς εἰρημένης αὐτȣ̃ βȣλῆς ἥκιςα διαιρεῖται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 252. Διὸ δὴ καὶ ἐπ' αὐτῶν τῶν θαυμασίων, δι' ὧν ἡ τῶν ὄντων ἔοικεν ἐκταράσσεσθαι τάξις, ἡ καινή τις ὅλως, ὥςγε πρὸς αὐτὸν μεσιτεύει ἐνέργεια, τῷ Θεῷ ὡς ἀπ' αἰῶνος ἤδη προδιαταξαμένῳ, τὴν τοιαύτην ταραχὴν τῆς τῶν ὄντων τάξεως.

§ 253. Μοναδική τις ἦντε, καὶ ἐςὶ, καὶ ἀεὶ ἔςαι, ἡ ἐνέργεια τῆς τῷ Θεῷ βελήσεως, ἡ πάντατε καὶ ἕκαςα ἀφορῶσα, τάτ' ἐόντα, τάτ' ἐσσόμενα, πρότ' ἐόντα. Σύμπαντα τῷ Θεῷ ἀτρέπτως, καὶ ἀπαραλλάκτως παρόντα ἐςί.

§ 254. Ὁρῶμεν ἕκαςα, κατὰ κανόνα καὶ τάξιν ἄλληλα διαδεχόμενα, ὅτω δηλαδὴ, ὥςε συνάφειάν τινα καὶ ἀλληλουχίαν ἐν αὐτοῖς κρατεῖν, ἄλλε ἄλλῳ ἐφεπομένε· τῦτο τῇ σοφίᾳ σύμφωνον εἶναι ὁ πανσθενὴς ἔκρινε.

§ 255. Ἀλλὰ παρὰ τῷ Θεῷ εἰσὶν αἱ ἰδέαι ἁπασῶν τῶν δυνατῶν διαδοχῶν, τετέςι τῶν ὑπ' ἀλλήλων μηδαμῶς ἀναιρεμένων. Πᾶσαι αἱ τοιαίδε διαδοχαὶ αὐτῷ παρῦσαι εἰσίν. Ὡς εἴγε καὶ διαδοχήν τινα πραγμάτων παραγωγὴν αὐτῷ δόξειε, καθ' ἣν ὀδεμία συμπλοκὴ ἐγχωροίη, ὀδὲ συνάφεια, καὶ τῦτ' ἂν αὐτὸς δυνηθείη, ὁ πάντα δυνάμενος, καὶ μόνη ἂν αὐτῷ ἡ ἁπλυςάτη νεῦσις, τῦτο ἐποίησεν.

§ 256. Ὑπολαβέτω δὲ μηδεὶς, ὡς εἴγε τὸ ἐφεξῆς ἐκ τῦ πρὸ αὐτῦ μὴ ἐξήρτητο, ἐδέησεν ἂν εἰς τὸ εἶναι τὰ ὅτως ἀλλήλων ἀπολελυμένα, πολλῶν τε, καὶ διαφόρων, καὶ ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διαδοχῆς προϊόντων ἐνεργημάτων παρὰ τῷ Θεῷ, οἷς ἂν καθ' ἕκαστα χρόνȣ σημεῖα παράγοιτο· ὡς τὴν τῆς διαδοχῆς ἰδέαν φέρων ὁλοσχερῶς, καὶ τὰ ἐν αὐτῇ ἐλάχιστα προείληφε, καὶ τὸν τρόπον ᾧπερ ἄλληλα διαδέχεται, οἶδε· καὶ εἶναι βȣληθέντος αὐτὰ, πάντα ἔσαι. Ἀπόχρη γὰρ εἰς τὸ αὐτὰ εἶναι, ἡ μοναδική τε καὶ ἀτρέπτως ἔχȣσα ἐνέργεια τῆς βȣλήσεως αὐτȣ̃, ἡ διὰ πάντων, καὶ δι' ἑνὸς ἑκάςȣ διήκȣσα.

§ 257. Οὐδὲν παρὰ τῷ Θεῷ διαφέρει, εἴπερ ὧν θάτερον ὑπάρξεως τυγχάνει μετὰ θάτερον, ἀλλήλοις συνεπιπλέκεται, ἢ μή. Πᾶν γὰρ ὃ ἂν αὐτὸς θέλοι, καὶ ὡς ἂν θέλοι, ἐκεῖνο, κἀκείνως ἐςὶ.

§ 258. Ἡ μετ' ἀλληλȣχίας τῶν ὄντων διαδοχὴ, καὶ ἡ ἄνευ ἀλληλȣχίας, ἐπίσης, ὁλοσχερῶς τε, καὶ ἅμα, καὶ ἀπαξαπλῶς τῷ Ὑπερτάτῳ Ὄντι πάρεισι. Ταύτην, εἰ ἐκείνων τιθέμενος, ȣ̓ παρηλλαγμένην, ȣ̓δὲ διαφέρȣσάν τινα προβάλλεσθαι τὴν ἐνέργειαν, ἀλλὰ βȣ́λεται μὲν αὐτὸς τὴν διαδοχὴν τῶν πραγμάτων, ταῦτα δὲ ἐκ διαδοχῆς τὸ εἶναι κομίζεται.

§ 259. Καὶ ȣ̔́τως δὲ ἢ ἐκείνως τῶν πραγμάτων τὸ εἶναι ποριζομένων, ἡ τοιάδε βȣ́λησις ἐφ' ἕκαστα ἐφαπλȣ̃ται, ἅττα βȣ́λεται, ἵνα ᾖ ἐν τεταγμένῳ ὁποιῳδήποτȣν σημείῳ τῆς διαδοχῆς.

§ 260. Ταῦτα δὴ πάντα ἀμέσως ἐπιφέρεται ἐκ τȣ̃ ἐν τῷ Θεῷ ἀτρέπτȣ. Τὸ δ' ἄτρεπτον τῆς αὐθυπαρξίας ἐςὶν ἀδιάζευκτον (99).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 261. Οὐ χρὴ περὶ τῶν τȣ̃ Θεȣ̃ ποιημάτων κρίνειν, καθάπερ περὶ τῶν μηχανημάτων κρίνομεν, ἃ τεκταίνονται ἄνθρωποι.

§ 262. Τȣ̃ μηχάνημά τι κατασκευάσαντος τεχνίτȣ, οἷον τῆς αὐτȣ̃ χειρὸς διηκενῶς δεῖσθαι, τῆς ἕνα ἕκαστον τῶν τροχῶν ἰδίᾳ κινȣ̃σης, ἀσυγκρίτως ἂν ἀνώτερος τάττοιτο ἔτις διὰ βάρȣς, ἢ ἐλατηρίȣ τὴν αὐτὴν διατεχνιτεύσαιτο κίνησιν εἰς ἁρμονίαν ἑκάστȣ τῶν τροχῶν συμβιβάσας τε καὶ συναρμοσάμενος, ὥστε θάτερον ὑπὸ θατέρȣ τὸ εἰς κίνησιν ἐνδόσιμον ἐπιδέχεσθαι.

§ 263. Τὸ μέντοι ȣ̂τω περὶ τȣ̃ Θεȣ̃ διανοεῖσθαι φλȣ̃δον. Πρὸς γὰρ τὴν τῶν ὄντων σύστασιν, ὥστε ἡμᾶς περὶ τῆς τȣ̃ Θεȣ̃ σοφίας δυνατὸν κρίνειν, διαφέρει πάντως ȣ̓δὲν, εἴτε τοι ὁ τῶν ὄντων Δημιȣργός τε καὶ Πρύτανις, ἀμέσως ἕκαστα τυγχάνει διακυβερνῶν, ἢ καὶ διὰ τῶν δευτέρων αἰτίων τὰ πάντα διεκπεραίνων. Ὁπώτερον γὰρ ἄν τις θείη, οἱ αὐτοὶ ἂν τῶν πραγμάτων ὅροι διασώζοιντο καὶ θεσμοὶ, ἡ αὐτή τε τάξις κρατοίη.

§ 264. Εἰ τοῖς δημιȣργήμασι τὴν δύναμιν τȣ̃ ἐνεργεῖν ὁ Θεὸς ἐνῆκε, τȣτέστιν, εἰ διὰ μέσων αὐτὸς ἐνεργεῖν τῶν δευτέρων αἰτίων προείλετο, δῆλον ὅτι τȣ̃το ἁπλȣστάτῳ νεύματι τῆς ἑαυτȣ̃ θελήσεως ἐκτελεῖ. Τὸ δὲ νεῦμα τόδε ἐν εἴδει ἐπὶ πάντων ἐφαπλȣ̃ται τῶν ἐνεργημάτων τῶν δευτέρων αἰτίων, ὥστ᾽ ἐξ αὐτȣ̃ ταῦτα, ἐφ᾽ οἱασȣ̃ν ἐνεργείας ἔχειν τὸ ἱκανὸν εἰς ποίησιν καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δραστήριον. Ἔνθεντοι καὶ πρὸς ἡμᾶς τόγε τοῦτον ἥκιστα διαφέρει. Ὡσαύτως γὰρ καὶ περὶ τῶν δημιουργημάτων αὐτῶν, καὶ περὶ τῆς τοῦ Θεοῦ σοφίας ἐν τῇ κτιστῇ φύσει, κρίνειντε καὶ διανοεῖσθαι ὀφείλομεν· εἴτε τῆς θείας θελήσεως ἐπὶ ἑνὸς ἑκάστου τῶν συμβαινόντων, περὶ τὸ δραστήριον τῶν δευτέρων ἐνεργούσης αἰτίων, εἴτε καὶ περὶ αὐτὰ ταῦτα τὰ διὰ τούτων ἐκτελεῖσθαι φαινόμενα ἀποτελέσματα.

§ 265. Τὰ κατὰ γένος ἡμῖν ἤδη παρατετηρημένα, οὐ μόνον τοῖς νόμοις ἔχοι ἂν προσεφαρμοσθῆναι τῆς φύσεως, ἀλλὰ καὶ τοῖς θεσμοῖς, οἷς αἱ τῶν σωμάτων ἐνέργειαι ἐπὶ τὴν ψυχὴν μεταβαίνουσιν οὐδὲν ἧττον καὶ τοῖς τῶν κατὰ τὴν ψυχὴν νοημάτων, δι᾽ ὧν ἡ κίνησις κοινωνεῖται τῷ σώματι.

§ 266. Ἐπιφέρομεν οὖν ἐκ τούτου, μὴ πάνυ εὐλόγως τοῖς τῶν ἐξ ἀφορμῆς καλουμένων αἰτίων προστάταις προσερίβεσθαι, τὸ μὴ προσήκοντα τῇ τοῦ Θεοῦ σοφίᾳ εἰσαγαγεῖν αὐτοὺς δοξάσματα.

§ 267. Ἐπειδὴ γὰρ καὶ κατὰ τόδε τοῦτο τὸ σύστημα, νόμοις τισὶ καὶ ὅροις οὐδὲν ἧττον ἀμεταθέτοις τὸ τῶν ὅλων διεξάγεται πλήρωμα, τὰ περὶ τῶν διηνεκῶς τε καὶ ἀδιαλείπτως ταύτῃ γε τελεῖσθαι δοκούντων θαυμασίων, φροῦδα καταῤῥεῖ.

§ 268. Τούτοις τὸν νοῦν προσέχοντα, οὐδεὶς με λόγος ἀνατρέχειν ἐνάγει πρὸς τὴν ἁρμονίαν τὴν προδιατεταγμένην· καὶ γὰρ ἄγαμαι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὲν τȣ̃ ἐπινενοηκότος ἀνδρὸς τὸ εὐφυὲς ϗ ἀγχίνȣν, ἀλλ' ȣ̓ πάνυ τι ςεῤῥω̃ς μοι κατανοεῖν δοκω̃ τὸ ἐπαγόμενον ἐπιφέρεσθαι (262), μὴ ȣ̓́τω προσῆκον τῇ τȣ̃ Θεȣ̃ ὑπάρχειν σοφίᾳ τὸ κατὰ τὴν ἐπιςασίαν ἀκȣ̃ον σύςημα· ὡς τȣ̃γε θεμελίȣ τȣ̃δε κατηρειπότος, τὸ προδιατεταγμένον τῆς ἁρμονίας, ȣ̓δὲν πλέον, ἢ ψιλή τις ὑπολείπεται εἶναι ὑπόθεσις.

§ 269. Καὶ τὰ λοιπὰ δὲ δύο συςήματα ἐξίσȣ τὸ πρᾶγμα διερμηνεύȣσιν· ἐφ' ὅσον τε τὸ τȣ̃ πρώτȣ ἀδύνατον, λόγοις ἑδραίοις ȣ̓κ ἀποδείκνυται, χαλεπὸν τὸ αἱρετέον ἐν αὐτοῖς διορίσασθαι.

§ 270. Ἀλλ' ἐςὶ δήτι τὶ ἀμφοτέρας ἐκείνας πιέζον τὰς δόξας, ȣ̔̃ ἀνωτέρω ὑπεμνήσθημεν (220. 254). Τȣ̃το δὲ τὰ ἐλεύθερα ἐςὶ τω̃ν ἀνθρωπίνων κινημάτων, δι' ὧν ὁ νόμος ἔοικε διαταράττεσθαι, καθ' ὃν ἀλλήλαις ἅπασαι αἱ τω̃ν σωμάτων κινήσεις ἀντιςοιχȣ̃σαι συμπνέȣσι.

§ 271. Οἷον δὴ, φασὶ, τὸ τῆς βαρύτητος κέντρον τω̃ν σωμάτων ἁπάντων ἅμα ληφθέντων, ἐπὶ τȣ̃ πλανητικȣ̃ συντάγματος, μηδαμω̃ς τρέπεσθαι; οἷαι δήποτ' ἂν γένωνται αἱ τω̃ν σωμάτων ἀμοιβαῖαι ἐνέργειαι. Ἀλλὰ γὰρ τὸν ὅρον τόνδε διαταράττεσθαι, ἐπειδάν τις καινοτέρα κίνησις ȣ̓χ ὑπὸ φυσικῆς αἰτίας, ὑπὸ δὲ θελήσεως νοητικῆς ἠρτημένη παράγεται.

§ 272. Ἀλλὰ τὰ μὲν τῆς ἐνςάσεως συγχωρω̃, πόθεν δὲ δῆλον, τὸν Θεὸν μὴ βȣλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θῆναι, τὸν τοιόνδε ὅρον διαταράττεσθαι; Ἀπαντῶσιν, ὡς ἐντεῦθεν συμβαίνοι ἂν τὸν κόσμον εἶναι ἀτελέστερον. Ἀλλ' αὖθις πυνθάνομαι, ὅθεν τοῦτο δῆλον;

§ 273. Τὸ μὲν ὑπὸ τῶν σωμάτων, τῶν κατὰ τοὺς θεσμοὺς τῆς φύσεως κινουμένων, τοὺς φυσικοὺς τούσδε νόμους ἀπαρατρέπτως τηρεῖσθαι, ὁμολογοῦμεν, τοῦτο γὰρ συμβαῖνον, οὐκ ἂν ὁ σκοπὸς ἐπληροῦτο, πρὸς ὃν τούσδε τοὺς νόμους ἀφορᾷν, ἅλις ἡμῖν ἐστὶ συμφανές. Αἱ δὲ περὶ ὧν ὁ λόγος τροπαὶ, οὐ τοιαῦται εἰσὶ, καὶ παρὰ τοῦτο, τὰ ἐξ αὐτῶν τελούμενα μόλις που αἰσθητόν τινα μεταβολῆς λόγον παρέχεται.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

## Περὶ Ἀρχῆς τῶν Ἰδεῶν.

§ 274. Λειπόμενον ἔτι περὶ τῆς ψυχῆς ζητῆσαι, ὅθεν αὐτῇ αἱ ἰδέαι προσγίνονται.

§ 275. Αὐτίκα οὖν οὐκ ἄδηλον τὸν Δημιουργὸν τῶν πάντων, δυνάμεως νοητικῆς τῇ ψυχῇ μεταδοῦναι. Εἰ δὲ τοῦτο, πρὸς τὸν Θεὸν αὐτὸν, καὶ τὴν τῶν ἰδεῶν ἀρχὴν χρῆναι ἀνάγειν, τὶς ἐνδοιάσει;

§ 276. Ἀλλὰ ζητοῦμεν τῷ τρόπῳ ἡ ψυχὴ πορίζεται τὰς ἰδέας, τουτέστι διὰ τίνων ποτὲ μέσων ὁ Δημιουργὸς τῇ ψυχῇ τὰς ἰδέας ἐνίησι;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 277. Τρεῖς οὖν τάξις ἰδεῶν οἴδαμεν· καὶ πρώτη μὲν, ἐστὶ τῶν ἅττα ἡ ψυχὴ ἐν ἑαυτῇ προσλαμβάνει.

Δευτέρα δὲ τῶν, ἃς πορίζόμεθα, τὰς ἄλλας ἰδέας ἀλλήλαις παραβάλλοντες· κρίνοντες δηλονότι, καὶ συλλογιζόμενοι.

Τρίτη τελευταῖον τῶν ὑπὲρ ἀριθμὸν κατ' αἴσθησιν προσλαμβανομένων, ὧν αἱ πλεῖσαι τὰ ἐκτὸς ἡμῶν παριστάνουσι.

§ 278. Πολλοὶ δὲ τὴν ἥνπερ ἔχομεν τοῦ Θεοῦ ἰδέαν, πρὸς οὐδὲν τῶν ἠριθμένων εἰδῶν ἀξιοῦσιν ἀνάγειν· ἀλλὰ περὶ τούτου μικρὸν κατωτέρω (284. 286).

§ 279. Περὶ ὧν ἐν ἑαυτῇ ἡ ψυχὴ ἰδεᾶται, οὐδὲν δυσχερὲς ἡμῖν ἀπαντᾷ.

Νόησις οὐκ ἂν γένοιτο, εἰμὴ μετὰ τῶν κατὰ φύσιν αὐτῆς ἀχωρίστων (8). Εἰ γὰρ νοεῖ, κατ' αὐτὸ τοῦτο καὶ ἀμέσως τὸ νοοῦν προσλαμβάνει τὸν τρόπον τὸν τῆς ὑπάρξεως (106), ἔνθεν τοι καὶ ὁ τοῦ εἶναι τρόπος, αὐτῆς ἐστὶ τῆς ἰδέας παραίτιος. Καὶ οὐκ ἄρα ἐπὶ τῶν τῆς ἡδονῆς φέρε, ἢ τῆς ἀνίας προσλήψεων, αἰτίαν ἄλλην ἡμῖν ζητητέον, παρὰ τὸν ὅνπερ ἡ ψυχὴ διάκειται τρόπον, οὗ ἡ ἀμέσως γινομένη πρόσληψις, τῆς νοήσεως ὑπάρχει ἀδιαχώριστος.

§ 280. Τὰς δὲ ἰδέας, ἃς διὰ παραθέσεως ἄλλων ἰδεῶν πορίζόμεθα, οἷον κρίνοντες, ἢ διανοούμενοι, εὔδηλον μηδ' αὐτὰς αἰτίαν ἄλλην εἰδέναι, παρὰ τὰς ἰδέας ἐκείνας, αἱ παραβάλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λονται. Ἡ γὰρ ψυχὴ πρὸς ἐκείνας ἔχουσα, τὴν αὐτῶν τούτων παράθεσιν καθορᾷ, καὶ ἅμα τῆς παραθέσεως ταύτης τὴν ἰδέαν πορίζεται.

§ 281. Λείπεταί τις ἀπορία μόνον, περὶ ἃς διὰ τῶν αἰσθήσεων κομιζόμεθα. Περὶ ταύτας δὲ σημειωτέον, ὡς ἐκ αὐτὰ τὰ πράγματα τυγχάνει τὰ τῇ ψυχῇ τὴν ἰδέαν ἐμβάλλοντα. Ἐκεῖνα γὰρ κίνησίν τινα μόνον ἐναποτίκτει τοῖς νεύροις, ἡ δὲ κίνησις οὐδὲν ἔχει κοινὸν οὔτε αὐτῷ τῷ πράγματι, οὔτε τῇ ἰδέᾳ αὐτῇ τῇ κατὰ τὴν ψυχὴν ἐνεγειρομένῃ· ἀλλ' οὐδὲ μεταξὺ τῆς τοῦ νεύρου ἀλλοιώσεως καὶ τῆς δι' αὐτοῦ ἐμποιουμένης ἰδέας ἀναφοράν τινα συνιδεῖν δυνάμεθα. Καὶ οὐδὲν ἄρα διασαφοῦσιν οἱ φάσκοντες τὴν τοῦ νεύρου κίνησιν, τὸ τῆς ἰδέας εἶναι παραίτιον.

§ 282. Ἀλλὰ καὶ τὸ τὴν ψυχὴν αὐτὴν τὰς τοιάσδε ἰδέας ἀποτελεῖν, ἑαυτῇ διὰ τούτων τὰ πράγματα ὧν τὴν γνῶσιν πορίζεται παριστάνουσαν, οὐδενὶ τρόπῳ οὐδὲ τοῦτο ληπτόν· οὐ γὰρ ἂν εἴη σχέσις οὕτω μεταξὺ τῆς αἰτίας καὶ τοῦ ἐξ αὐτῆς.

§ 283. Τὴν ἐκ πολλοῦ ἤδη ἀποσυριχθεῖσαν δόξαν, περὶ τῶν ἀπὸ τῶν πραγμάτων προϊόντων εἰδῶν, καὶ τῇ ψυχῇ ἐντυπουμένων, ἐκτιθέναι τε καὶ ἀπελέγχειν πειρᾶσθαι περιττόν.

§ 284. Πολλοὶ τὰς ἰδέας ἐμφύτους, ἅμα δηλαδὴ τῇ ψυχῇ δημιουργηθείσῃ ἐνεισαχθείσας πρεσβεύουσι· καὶ μηδὲν μάλιστα περὶ τῆς τοῦ Θεοῦ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰδέας χρῆναι διαπορεῖν διατείνονται, ἣν ὁδαμόθεν ἢ ἀπὸ Θεῦ ἀμέσως ἡμῖν κοινωνηθεῖναι ἂν ὑπειλήφασι.

§ 285. Τὰς δὲ τῶν ἰδεῶν ἐμφύτες, τῶν ἰδεῶν, ἥντινες τεθῶσι μόνον περιςάσεις, εἶναι καταφανεῖς.

§ 286. Ἀλλὰ γὰρ ταῦτα μόνον ἀποφαίνονται, λόγοις δὲ ἀραρόσιν ἐκ ἀποδεικνύεσι, διὸ καὶ ὑπὸ τῶν ἀντιδοξάντων εὐκόλως ἐλέγχονται. Οὗτοι γὰρ ἐκ εὐκαταφρονήτοις πίςεσι κατασκευάζεσιν, ὅτι καὶ αὐτὴ ἡ τῦ Θεῦ, ἣν ἀτελεςάτην τῦ ὑπερτελῦς φέρομεν ἰδέαν, συμπλοκῇ ποικίλων ἄλλων ἰδεῶν, συγκροτεῖσθαι δύναται.

§ 287. Οἱ τὰς ἐμφύτες ἰδέας ἀποσκευάζοντες, μετὰ τὸ τῶν παρὰ τοῖς ἀντιδοξῦσι προβαλλομένων λόγων δεῖξαι τὸ ἀσθενὲς, περαιτέρω ἔτι χωρῦσι, καὶ τοιαύτας τινὰς ὑπάρχειν ἰδέας ἐμφύτες ἁπλῶς ἀποφάσκεσιν, ὅπερ ἀλλ' ὂν ἐκ τῶν παρ' ἐκείνοις συλλογισμῶν ἥκιςα ἕπεται· ἐ γὰρ ψευδὴς ἔςαι ἡ δόξα, διότι ἀδρανέσιν ἐπιχειρήμασι ταύτην οἱ προςατῦντες κρατύνεσι.

§ 288. Ἐνυπολειφθήτω τοίνυν ἐν τοῖς ἀβεβαίοις το περὶ τῶν ἐμφύτων ἰδεῶν δόξασμα· τῦ γὰρ περὶ τὴν ἀρχὴν τῶν ἰδεῶν σκότες ἀπαλλαχθῆναι, ἐδὲ διὰ τῆς ὁδῦ ταύτης οἴοντε.

Δυοῖν ἀνδρῶν εὐκλεῶν, Λεϊβνιτίε τε φημὶ καὶ Μαλεβραγχίε τὰς δόξας, τὰς περὶ τῦ συνδέσμε ψυχῆς τε καὶ σώματος, ἐπικρίναντες ἀνωτέρω, ἐν Κεφαλαίοις ΙΖ. καὶ ΙΗ., εἴδομεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἤδη, ἔτι ἄρα ὑγιεὲς περὶ τῆς τῶν ἰδεῶν ἀρχῆς οἱ τηλικοῦτοι ἄνδρες ἡμᾶς ἐκδιδάσκουσιν.

§ 289. Ἡ τοῦ Λεϊβνιτίου δόξα, ἔχειν ἔοικέ τινα πρὸς τὰς ἐμφύτους ἰδέας ἀναφοράν. Ἔχει δὲ οὕτως:

§ 290. Ἁπλῆτις ἐστὶν ἡ ψυχὴ ἡ τοῦ ἀνθρώπου, καὶ ὅλως ἀπηλλαγμένη συνθέσεως. Ἔνθεντοι οὐδέ τι τῶν δημιουργητῶν ὄντων, ἐπὶ τὰ ἐντὸς αὐτῆς δύναται ἐνεργεῖν· διὸ καὶ πᾶσα δήποτε ἡ ἐν αὐτῇ συμβαίνουσα μεταβολὴ ἐξ ἀρχῆς ἐνδομυχούσης ἐξήρτηται.

§ 291. Οὕτως ὁ Θεὸς ψυχὴν πᾶσαν ἐμόρφωσεν, ὡς προσλήψεις ἐν αὐτῇ παντοίας ἐνεῖναι, ἐνίας μὲν διακεκριμένας, πολλὰς δὲ συγκεχυμένας, ὡς πλεῖστας δὲ ἀσαφεῖς ἃς δὴ ἐσχάτας μόλις ἑαυτῇ σύνοιδεν ἔχουσα.

§ 292. Σύμπασαι ἅμα αἱ ἰδέαι αὗται, ὁλοχερῆ τὸν ἅπαντα παριστῶσι διάκοσμον, ἅπαντα δηλαδὴ ὅσα τε ἦν, ὅσα τε ἐστὶν, ὅσα τε ἔσαι. Κατὰ δὲ τὴν τῆς ἀναφορᾶς διαφοράν, ἣν πρὸς τὸ πᾶν σύνταγμα ἔχει ψυχὴ ἑκάστη, διαφέρουσαι αὐτῇ καὶ αἱ ἰδέαι διακεκριμέναι εἰσὶ, καὶ μέρος τι τοῦ σύμπαντος εὐκρινῶς παριστῶσαι· ἐστὶ δε τῆς τοιαύτης δόξης λόγος θεμελιώδης ὁ ἐφεξῆς.

§ 293. Ἵνα τὸ τοῦ παντὸς μέρος, ὅπερ εὐκρινῶς παριστάνεται πρὸς τὴν ὁλοχέρειαν τῶν πάντων, πρόστε τὰ παρεχηκότα δηλαδὴ, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς τὰ ἐσόμενα, ἀναγκαίαν ἔχῃ τὴν σχέσιν ὡς ἂν δηλαδὴ τοῦτο ἐκ τούτου ἀεὶ ἐφέπηται. Οὕτω γὰρ δὴ καὶ ἡ τοῦ τοιοῦδε μέρους παράστασις, ἀναγκαίαν ἔχει τὴν πρὸς τὴν τοῦ παντὸς παράστασιν ἀναφορὰν, ὥστε ἀπὸ τῆς τοῦ παντὸς παραστάσεως μηδαμῶς ἔχειν ἀποδιακρίνεσθαι.

§ 294. Ἡ πρόσληψις ἄρα ἡ ἐν τῇ ψυχῇ συγκεχυμένη τε οὖσα καὶ διακεκριμένη, ταῖς ἁπάντων τῶν ὄντων ἰδέαις συζεύγνυται, ὧν δήπερ αἱ ἔσχατοι, κἂν ἀσαφῶς, ἐν αὐτῇ ἔνεισι τῇ ψυχῇ.

§ 295. Κατὰ γοῦν τόνδε τὸν λόγον, τὴν ψυχὴν ὁ Λεϊβνίτιος Κάτοπτρον τοῦ παντὸς ἐκάλεσε.

§ 296. Τούτων τεθέντων, τὸν αὐτὸν τρόπον, ὥσπερ ἐπὶ τοῦ παντὸς, τὰ συμβαίνοντα, ἐκ διαδοχῆς ἄλληλα ἐπιδιαδέχεται κατά τινας νόμους καὶ ὅρους, οὕτω κἀπὶ τῆς ψυχῆς, ἐκ διαδοχῆς αἱ ἰδέαι διακεκριμέναι γίνονται, κατά τινας νόμους, οἳ τοῖς μὲν προῤῥηθεῖσι νόμοις συμφώνως βαίνουσι, τῆς δὲ νοερᾶς φύσεως ἥκιστα διαφωνοῦσι. Πρόσθες τοῖς ἐνταῦθα λεγομένοις, τὰ ἀνωτέρω (236. 237. 238).

§ 297. Τῶν αὐτῶν ἰδεῶν ἅπασαι αἱ τῶν ἀνθρώπων ἐυμοιροῦσι ψυχαὶ, ἐφ᾽ ἑκάστων γε μὴν οὐχ αἱ αὐταὶ ἰδέαι διακεκριμέναι εἰσί. Τοῦτο γὰρ, ἐκ τῆς πρὸς τὸ ὅλον σύνταγμα διαφορᾶς, ἣν ἡ ψυχὴ ἔχει, ἐξήρτηται· ἐφ᾽ ἑκάστης δὲ ψυχῆς ἡ ἀναφορὰ αὕτη διαφέρουσα ἐστὶν, ἤπερ αὐτὴν ὁ Θεὸς κατατάξαι ἠθέλησεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 298. Ὡς ἐν οἷόντέμοι ἦν, τρανῶς, τὸ τοῦ Λειβνιτίου περὶ τῶν Μονάδων συστήματος παρεθέμην μέρος ὅ τὰ περὶ τῆς ἀρχῆς τῶν ἰδεῶν ἀφορᾷ. Διόμοι ἔντι τοῦτο παρατηρήσασθαι λοιπὸν ἔσω.

§ 299. Βάσις τοῦ ὅλου συστήματος ἐστὶ, τὸ ἀναγκαίαν εἶναι τὴν μεταξὺ τῶν μερῶν ἁπάντων τοῦ συντάγματος ἀλληλουχίαν τε καὶ συνάφειαν· ἀλλ᾽ ἵνα ἡ τοῦ ἐντεῦθεν ἐπαγομένου λόγου ἔφοδος εὐθίκτως χωροίη, τοιαύτη δὴ ἡ συνάφεια ἐπιζητεῖται καὶ συμπλοκὴ εἶναι, ὡς τῶν πραγμάτων καθ᾽ αὑτὰ θεωρουμένων, ἐὰν ἐπὶ τοῦ παντὸς ἔστιν ἄττα τεθῇ, σύμπαντα τ᾽ ἄλλα ἐντεῦθεν οὕτω χρῆναι ἐφέπεσθαι, ὥστε μὴ τοιάνδε τὴν ἰδέαν τοῦ ἄλλου παντὸς δύνασθαι δοθῆναι, οἵαν περιέχειν τι, τὸ ἐπὶ τοῦ παρόντος ἀνῆκον συντάγματος.

§ 300. Εἰ τοιάδε τις ἦν ἡ τῶν ἐν τῷ Κόσμῳ πραγμάτων ἀλληλουχία, ἕπετ᾽ ἂν λόγῳ τινὶ, τὸ περὶ τῶν ἀσαφῶν ἰδεῶν τιθέμενον· καθότι λέγοιμεν ἂν δηλαδὴ, ὅτι ἄνθρωπος, ὃς εὐκρινῆ φέρει τὴν τοῦ τριγώνου ἰδέαν, ἀσαφῶς ἰδεᾶται, ἅπαντα τὰ πάθη τοῦ τοιοῦδε σχήματος, ἐπεὶ τούτων γε μεταξὺ τῶν ἐσχάτων, καὶ τῆς πρώτης ἰδέας, ἀναγκαία τις συγχωρεῖ ἡ συμπλοκὴ καὶ συνάφεια.

§ 301. Ἀλλὰ γὰρ οὐχ ὁ αὐτὸς ἐν ταῖς κατὰ τὴν ψυχὴν ἀμοιβαδὸν συνεφεπομέναις ἰδέαις, σύνδεσμος ἀποκαλύπτεται. Ἐὰν γὰρ ἐξάπινα, ἀπὸ σκότους βαθέως, ἐπὶ τὸ φῶς μεταβὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τύχω, καὶ πραγμάτων ἰδέας, ὧν ὅπω πρὶν ἐθεασάμην, καρπώσωμαι, ὃκ ἔοικε τὴν ἡγησαμένην ζοφώδη πρόληψιν, ἐπὶ τὰς ἰδέας μὲ ταύτας ἐξαγηοχέναι.

§ 302. Εἰ δέτις ἀλλ' ὃν τὴν τῶν ἰδεῶν ταύτην ἀλληλεχίαν πρεσβεύειν ἐπιχειρήσειε, τὃτον δενσόμεθα, ἵνα ἀφεὶς τὰς ὑποθέσεις, συλλογισμοῖς χρήσαιτο· καίτοι ὃδὲ πολλῶν καὶ ἄλλων δυσκολιῶν τὸ εἰς ἐπίκρισιν ἡμῖν ἐν τῷ παρόντι προτεθὲν δόγμα ἀπήλλακται.

§ 303. Λειπόμενον δὲ καὶ τὸ τὃ Μαλεβραγχίȣ ἐπισαθμήσαθαι. Τίθησιν ὃν ὁ Ἀνὴρ, ἀδύνατον ἄλλην τῆς ἰδέας αἰτίαν δοθῆναι, παρὰ τὴν ἰδέαν αὐτὴν, τὴν ἐν ἑτέρῳ τινὶ νοερῷ ὄντι ἐνȣ̃σαν, κἀντεῦθεν εἰσβάλλει, ὅτι πᾶσαν αὐτοὶ ἰδέαν πορίζόμεθα, τῆς ψυχῆς ἡμῶν ἐν τῷ Θεῷ ταύτην ἐνοπτευȣ́σης.

§ 304. Ἵνα δὲ τὴν δόξαν κατασκευάσῃ, ἅπαντας τὃς τρόπȣς καταριθμῇ, καθ' ὃς ἂν, φησὶν, ἡ τῶν ἰδεῶν παραγωγὴ διερμηνευθείη· ὅτω γὰρ τῶν ἄλλων ἀπεληλαγμένων, μόνην ἀληθεύειν, ἣν αὐτὸς πρȣ̈βάλλετο, ἐπιφέρει.

§ 305. Δισσὰ γεμὴν ἐξαμαρτάνειν δοκεῖ ἡ τοιάδε συλλογιστικὴ ἔφοδος αὐτῷ. Πρῶτον μὲν γὰρ, ἐν ὑποθέσει ὅτω πυκνῇ τῇ ἀσαφείᾳ συνειλημμένῃ, τὶς ποτ' ἂν ἐπιεικῶς διατείνεσθαι ἔχοι, ἅπαντας ἁπαξαπλῶς κατηριθμῆσθαι τὃς τρόπȣς, οἷς ἂν διερμηνευθείη ἡ τῶν ἰδεῶν ἐν τῇ ψυχῇ ἀνατύπωσις; ἤπȣ ἡ τὃ Λείβνιτίȣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοξασία τὸν Μαλεβράγχιον διελάνθανεν, ἢ καὶ πρὸς τὰς ἐμφύτους τῶν ἰδεῶν ἀναφοράν τινα ἔχουσα, τῷ παντὶ γεμὴν ἀπὸ τῆς Καρτεσιανείου δόξης ἀφέστηκεν. οὐδὲ τὰ κατὰ ταύτης τῷ Μαλεβραγχίῳ παρατηρηθέντα, οὐδὲ μικρὸν γοῦν τοῦ Λεϊβνιτείου καθάπτεται σκέμματος. Οὕτω δὴ τοίνυν καὶ ἄλλαι τυχὸν ἐπινοηθῆναι ἂν ἔχοιεν τοῦ προκειμένου ἀναπτύξεις θηρεῦσαι τὴν κατάληψιν.

§ 306. Δεύτερον δὲ καὶ τούτῳ ἐλλειπὴς ἐστὶν ἡ συλλογιστικὴ ἔφοδος ἐκείνη, ὅτι τὰς λοιπὰς τῶν ἄλλων ὑπολήψεις, οὐκ ἐπ' ἀκριβὲς ἁπάσας ἐξελέγχει, ψευδομένας εἶναι, τὸ γοῦν ἔμοι γε παριστάμενον.

§ 307. Ἁπάντων οὖν τῶν περὶ τῆς τῶν ἰδεῶν ἀρχῆς οὕτως ἐπισταθμηθέντων, οὐδὲν περὶ τοῦ πράγματος διακριδὸν ἄχρι τοῦδε νόημα λαβεῖν ἐξεῖναι, ὑποσυνάπτω.

§ 308. Ἐφ' οἷς παρατηρητέον, ὅτι ἐπὶ τῆς τῶν ἰδεῶν, ὅπως ἔχουσι τὸ εἶναι ἐκθέσεως, καὶ ἡ τοῦ μνημονικοῦ διάσκεψις τὴν ἀπορίαν ἐπαύξει.

§ 309. Πολλαὶ ἰδέαι, ἃς παρούσας οὐ φέρομεν, ἡμῖν ἔχουσιν ἀνακαλεῖσθαι· ταύτας δὲ δήπου διαφόρως πρὸς τὴν ψυχὴν ἔχειν εἰκός, ἢ, ἃς οὐδέποτε παρούσας ἔχειν, οὐδὲ παραστῆσαι ὅλως αὖθις ἑαυτῇ δύναται. Ἀλλά τις δήποτε ἡ κατὰ τὴν ψυχὴν ἰδέα τυγχάνει, ἧς ἡ ψυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χὴ ἐκ ἐνεργείᾳ τὴν πρόσληψιν κέκτηται;
μὴν δίδοσθαι τὰς ἔτως ἐχέσας ἰδέας φανε

§ 310. Αἴρειν μὲν ἐν τὸ τῆς δυσκολίας
μέσε δοκεῖ, ἐν τῇ συςάσει τε ἐγκεφάλε
μνημονικὸν ἅπαν ἀνατιθέμενοι, ἀλλ' ἐξ α
ρίας, ἐς ἀπορίαν ἄλλην ἐδὲν ἐλάσσονα με
κυλιόμεθα, ἣν ἀνωτέρω συνείδομεν (193).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΤΗΣ ΕΙΣ ΤΗΝ ΦΙΛΟΣΟΦΙΑΝ ΕΙΣΑΓΩΓΗΣ ΒΙΒΛΙΟΝ Β'.

## ΠΕΡΙΕΧΟΝ ΤΗΝ ΛΟΓΙΚΗΝ.

## ΜΕ'ΡΟΣ Α.

## ΠΕΡΙ ΙΔΕΩΝ καὶ ΠΕΡΙ ΚΡΙΣΕΩΝ.

### ΚΕΦΑΛΑΙΟΝ Α'.

### Περὶ τῆς τῶν Ἰδεῶν Διαιρέσεως.

§ 311. Πρόσληψις εἴρηται εἶναι, ὅπερ ἀμέσως πάρεστι τῇ ψυχῇ. Διαιρεῖται δὲ εἰς αἴσθημα καὶ ἰδέαν.

§ 312. Αἴσθημα δὲ πρόσληψις ἐστὶν, ἡ δι' αἰσθήσεως ἐγγινομένη, μηδὲν ἡμῖν, ὃ ἐκτὸς ἂν εἴη τῆς ψυχῆς παριστάνουσα.

§ 313. Πᾶσα δὲ ἄλλη πρόσληψις, παρὰ τὴν κατ' αἴσθησιν καλεῖται ἰδέα. Καίτοι τὸ ὄνομα ὁλοσχερέστερον πολλάκις ἐκλαμβανόμενον ὁποίαν δήποτε πρόσληψιν ὑποδηλοῦν τάσσεται. Κατὰ μὲν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοι τήνδε τὴν ἐσχάτην λῆψιν ἐπὶ τοῦ πρὸ τοῦδε βιβλίου ἡ Φωνὴ αὕτη ἐξείληπται· καὶ κατὰ τὴν αὐτὴν δὲ κἂν τοῖς ἑξῆς ἐκληφθήσεται.

§ 314. Πᾶσαι ἡμῶν αἱ Κρίσεις καὶ οἱ Συλλογισμοὶ πάντες, τὰς ἰδέας ἀφορῶσι, καὶ περὶ ταύτας μόνας ἡ ἐν χερσὶν ἐπιστήμη ἐνασχολεῖται.

Πρὸ ἔργου τοιγαροῦν ἂν εἴη, περὶ τῶν ἰδεῶν ἐν γένει διελθεῖν, καὶ τούτων τὰ ποικίλα εἴδη ἐπισταθμήσασθαι.

§ 315. Ἐὰν αὐταῖς μόναις ταῖς ἰδέαις τὸν νοῦν ἐπιστήσωμεν, τούτων τὰς μὲν ἁπλᾶς εἶναι εἰσόμεθα, τὰς δὲ συνθέτους.

§ 316. Αἱ δὲ ἰδέαι οὐδὲν ἡμῖν, ἢ τὰ πράγματα παριστῶσιν, οὐ γάρ ἐστιν ἄλλως, εἰ μὴ διὰ τῶν ἰδεῶν ταῦτα ἡμᾶς γιγνώσκειν· ὅθεν τοιῷδε λόγῳ, τὰς ἰδέας ἡμῖν ἐπισκεπτομένοις, αἱ μὲν εἰσὶν ἐναργεῖς καὶ σαφεῖς, αἱ δὲ ἀσαφεῖς· καὶ αἱ μὲν πλήρεις, αἱ δὲ ἐλλειπεῖς, καὶ αἱ μὲν εὐκρινεῖς, αἱ δὲ συγκεχυμέναι· καὶ ἀφῃρημέναι, ἢ συγκεκριμέναι· καὶ καθ' ἕκαστα, ἢ καθόλου· καὶ ἀπόλυτοι, ἢ σχετικαί. Τελευταῖον δὲ καὶ τὰ ἀντικείμενα τούτων, ἤτοι κατ' αὐτήν εἰσὶ τὴν ψυχὴν, ἢ τῆς ψυχῆς ἐκτὸς.

§ 317. Συντόμως οὖν διὰ τῶνδε τῶν διαιρέσεων ἰτέον, ἐκεῖνα μόνα διερχομένοις, ἅττα πρὸς τὸν προκείμενον ἡμῖν σκοπὸν τείνειν ἐοίκασι. Ἡ δέτοι χρῆσις τῶν ἐνταῦθα παρατηρουμένων ἐν τοῖς ἑξῆς ὑποτεθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

## Περὶ Ἰδεῶν Ἁπλῶν τε ϗ Συνθέτων.

§ 318. Ἁπλῆν ἰδέαν καλȣ̃μεν, ἐν ᾗ πλείȣς ἀνακαλύπτειν ἰδέας ȣ̓κ ἔχομεν.

§ 319. Σύνθετον δὲ τὴν ἐκ πλειόνων ἁπλȣςέρων συνιςαμένην.

§ 320. Ἁπλαῖ δὲ ἰδέαι τυγχάνȣσι τὰ αἰσθήματα πάντα, οἷον χρωμάτων, ὀσμῶν, ἤχων, κξ:, ἡδονῆς, λύπης κξ:

§ 321. Σύνθεσις μὲν ἐγχωρεῖ, ἐπὶ τῶν ἐπιζητȣμένων, ὥςε δι᾽ αὐτῶν τοιάσδε ἡμᾶς ἰδέας προσκτήσασθαι· ϗ ἐν αὐταῖς δὲ ταῖς ἰδέαις, ἡ ποικιλία, πέρατος ἐκτὸς ἂν γένοιτο. ἑκάςην γεμὴν τῶν ἰδεῶν τȣτωνί, καθ᾽ ἑαυτὴν θεωρȣμένην, ἁπλῆν εἶναι διατεινόμεθα.

§ 322. Ἁπλαῖ δὲ ἔτι αἱ ἰδέαι εἰσὶ τῆς ἐκτάσεως, τῆς κινήσεως, τῆς κατὰ τὴν βȣ́λησιν προθέσεως, καὶ αἱ παραπλήσιαι.

§ 323. Αἱ δὲ σύνθετοι ἐκ πλειόνων ἁπλȣςέρων συγκροτȣ̃νται ὡς εἴρηται. Τοιαύτη ἡ ἰδέα ἐςὶ σώματος παντὸς, τȣ̃ φυτȣ̃, τȣ̃ οἴκȣ, τῶν τοιȣ́των.

§ 324. Δι᾽ ἐπιμελεςέρας ἐρεύνης πολλάκις ἀνακαλύπτομεν, σύνθεσιν ἐπ᾽ ἐνίων παρεῖναι τὴν πρὶν ἡμᾶς διαλανθάνȣσαν· καὶ συμβαίνοι, τὸ κατ᾽ ἰδέαν ληπτὸν, σύνθετόν τι τυγχάνειν, κἂν ἡμῖν ἐν τοῖς ἁπλοῖς τάσσοιτο.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 525. Ταῦτ' ἀλλ' ὖν ὃ τὰς ἰδέας αὐτὰς ἀφορᾷ, ὡς ἐπὶ τῦ παρόντος ἡμᾶν, ἄνευ τῆς πρὸς τὰ πράγματα ἀναφορᾶς, θεωρεῖν πρόκειται.

§ 526. Τὴν γραμμὴν ὀρθὴν ὑποτιθέμενος, ἁπλῆν τῆς κατ' αὐτὴν τάσεως τὴν ἰδέαν φέρω. Ἀλλ' ἀνακαλύπτω ἐπ' αὐτῆς καμπὴν εἶναι, ἡ δὲ τῆς τάσεως, ἰδέα σύνθετος αὐτίκα καθίςαται. Καὶ ὀχὶ μὲν τὴν σύνθετον ἰδέαν, ὡς ἁπλῆν ἔχον, ἀλλ' ἡ ἰδέα μετήμειπται, ἡ ἑτέρα δὴ παρὰ τὴν πρώτην ἐςὶ.

§ 527. Διὰ δὴ τῶν αἰσθήσεων τὰς ἁπλᾶς τῶν ἰδεῶν προσπορίζεται ἡμῶν ἡ ψυχὴ, ἢ διὰ τῦ τῇ ἰδίᾳ ἑαυτῆς καταςάσει προσέχειν· οὐδέποτ' ἂν ἄλλως ταύτας ἡ ψυχὴ προσκτήσαιτο, καινὰς γὰρ πλάττειν ἰδέας αὐτῇ ἀμήχανον, ἢ παραθέσει ἰδεῶν ἄλλων αὐτὰς ἐκτελεῖν.

§ 528. Διὰ τῦτο ἡ διαφωνῶν τοῖς ἄλλοις, τοῖς αὐτὰς μήπω λαβῦσι, μεταδιδόναι ταύτας ὀχ οἷοντε.

Φωναῖς τὰς ἰδέας ἐκφέρομεν, ἀλλ' αἱ φωναὶ ὀδὲν καθ' ἑαυτὰς ἐκδηλῦσι, καὶ ἀπὸ βυλῆς καὶ συνθήκης μόνον, ἡ τῦ σημαίνειν αὐταῖς περίεςι δύναμις. Ἐὰν ὖν τινὶ ἰδέας τινὸς μεταδῦναι διὰ τῦ προφορικῦ λόγυ θελήσω, ἀνάγκη πρῶτον ἐκείνῳ, τὴν τῶν φωνῶν αἷς προχρήσομαι σημασίαν μὴ εἶναι ἄδηλον. Τῦτο δὲ ἐςὶ, τὸ τὰς ἰδέας αὐτὸν ἄλλοθεν ἔχειν, τὰς διὰ τῶν φωνῶν ἐκδηλυμένας, ἡ ἐπὶ τύτοις δὲ, καὶ τῦτο ἔτι εἰδέναι, ὡς διὰ τῶν τοιῶνδε φωνῶν αἱ τοιαίδε ἰδέαι ὑποσημαίνονται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 329. Ἐπειδὰν τὴν ἰδέαν διὰ φωνῶν ἀναπτύσσομεν, ὁρισμὸν τὸ τοιῦτο καλῦμεν, καὶ τὸ ὕτως ἀναπτύσσειν, ὁρίζειν. Ἐςὶ δὲ ὁ ὁρισμὸς, ὐδὲν ἀλλ' ἢ τῶν ἁπλυςέρων ἰδεῶν ἐξαρίθμησις, τῶν ἐν τῇ συνθέτῳ ἰδέᾳ περιεχομένων.

§ 330. Ἐπειδὴ δὲ καθ' ἑαυτὰς αἱ φωναὶ, ὐδεμίαν ἔχυσαι εἰσὶ σημασίαν, ἔξεςι παντὶ τῷ βυλομένῳ διὰ ὁποιασῦν φωνῆς, ὁποιανδήποτε ἰδέαν διεκδηλῦν, εἰ μόνον δῆλον πρὶν ςήσειε, καθ' ἥντινα δὴ ἐκδοχήν τε καὶ σημασίαν, τὴν ἰδιάζυσαν φωνὴν ἐκείνην, ἐννοῶν τυγχάνει, ἢ χρῆσθαι προείλετο.

Καλεῖται δὲ τῦτο ὁρισμὸς ὀνόματος. Τὰ δὲ λοιπὰ ἃ τοῖς ὁρισμοῖς ἀνήκει, τῦ παρόντος τόπυ ἥκιςα ἐςί.

§ 331. Οὐ χρὴ τὰς συνθέτυς τῶν ἰδεῶν, ταῖς συμπεπλεγμέναις συγχέειν.

§ 332. Συμπεπλεγμένας ἰδέας καλῦμεν, αἳ καθ' ἑαυτὰς μὲν ἀλλήλων διεςῶσαι εἰσὶν, ἀλλ' ὕτως ὅμως συμπαρυσιάζειν εἰώθασιν τῇ ψυχῇ, ὥςε τῆς μιᾶς ἐπιγινομένης, καὶ τὴν ἑτέραν παρεῖναι.

§ 333. Αὕτη δὲ ἡ τῶν ἰδεῶν συμπλοκὴ, ἐν διαφέρυσιν ἀνθρώποις, διαφέρυσα ἐςὶ, κατὰ τὰ περὶ τὴν τῶν ἰδεῶν ἀνάληψιν διαφόρως συμβαίνοντα.

§ 334. Εἰ συνεχῶς ἐν ᾧτι σῶμα κατεῖδον, καὶ ὀσμῆς κατὰ τὸ αὐτό μοι συνέβη αἰσθέσθαι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τινὸς, τῆς εἴτ' ἐξ αὐτȣ ἐκείνȣ τȣ σώματος, εἴτε καὶ ἐξ ἄλλȣ ὅτινοσȣν ἀποφερομένης, ἐφεξῆς ἀείποτε εἴπȣ τῆς παραπλησίας προσαισθοίμην ὀδμῆς, καὶ τὸ σῶμα αὐτὸ ἐκεῖνο κἂν μὴ παρῇ φανταθήσομαι. Αὗται πȣ ἰδέαι συμπεπλεγμέναι, ἢ συνεζευγμέναι εἰσὶν, ἀλλ' ἐπὶ τὴν αὐτὴν ἰδέαν ȣδόλως εἰσὶν ἀνήκȣσαι. Διὸ καὶ τὴν σύζευξιν ταύτην ȣκ ἐπὶ τὴν σύνθεσιν τῶν ἰδεῶν ἀνακτέον.

Ὑπὲρ ἀριθμὸν, εἴτις προσέχοι, παραπλησίας συνεζευγμένας ἰδέας, παρ' ἑαυτῷ ὄσας ἀνακαλύψαι δυνήσεται.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ ἰδεῶν ἐναργῶν τε καὶ ἀσαφῶν, ἀνελλιπῶν τε καὶ ἐλλιπῶν, εὐκρινῶν τε καὶ συγκεχυμένων.

§ 335. Ἐναργής τε καὶ καθαρὰ ἰδέα καλεῖται, ἡ ὁλοκλήρως ἡμῖν ληπτή. Τοιαῦται αἱ ἁπλαῖ πᾶσαι. Ἣν γὰρ ἔχομεν ἁπλῆν ἰδέαν, ὁλοκερῆ ἔχομεν· ȣ γὰρ οἵα ἐστὶ μερισμὸν ὑφίστασθαι, ἁπλῆ ȣσα.

§ 336. Ἡ δὲ σύνθετος ἰδέα ἐναργὴς ἡμῖν ἐστὶν, ἐπειδὰν τὰς ἁπλᾶς ἁπάσας, ἐξ ὧν ἐκείνη συγκροτεῖται, κατὰ νȣν φέρομεν· οἵα ἡ τȣ ἰσοπλεύρȣ τριγώνȣ.

§ 337. Ἀσαφὴς δὲ ἡ σύνθετος ἰδέα ἐστὶν, ἀπȣσης τινὸς τῶν ἁπλȣστέρων, ἐξ ὧν συντίθεται.

§ 338. Τῶν ȣσιῶν ἁπασῶν αἱ ἰδέαι εἰσὶν ἀσαφεῖς. Τȣτων ἐστὶν ȣς τῶν τρόπων εἰδέναι μέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον πεφύκαμεν (18). Καὶ ἐδεὶς τῶν πάντων ἐςὶν, ὅς, ἑκάςης ἐσίας τῶν τρόπων ἀπαξαπάντων, δυνήσεται ποτὲ ἐφικέσθαι, ὅπερ φανερὸν παντὶ τῷ προσέχοντι.

§ 339. Ἡ τῦ ἀδυνάτε τὰ πολλὰ ἰδέα ἀσαφὴς κρίνεται, τὸ δὲ, διὰ τὴν ἡμετέραν συμβαίνει ἄγνοιαν.

§ 340. Εἴπερ προβάλλοιμι, εὐθύγραμμον κατ' ἰδέαν προσλαβεῖν τοιῦτον, οἷον ἐννακοσίων μοιρῶν γωνίας ἅμα εἶναι δεκτικὸν, ὁ δὲ ἀγνοοίη τὸ ἑπτάπλευρον, καὶ ὡς τῷδε μόνῳ τὸ εἰρημένον προσήκει πάθος, ἀσαφῆ τινὰ ἑαυτῷ διαμορφώσει ἰδέαν, ἐννοῶν τινὰς γωνίας, ὑπό τινων πλευρῶν συνιςαμένας, σχῆμα δὲ πανταχόθεν πεπερατωμένον ἑαυτῷ ἐ δυνήσεται παραςῆσαι.

§ 341. Ὡς εἴγε ἀντὶ ἐννακοσίων μοιρῶν, ὀκτακοσίας προθείην, παραπλησίαν τινὰ ἀναπλάσαιτο μόρφωσιν, ἀσαφῆ καὶ ταύτην τιθέμενος, καίτοι ἀδύνατον.

§ 342. Ἡ μὲν ἀνελλιπής τε καὶ πλήρης καλυμένη, τῇ ἐναργεῖ καὶ σαφεῖ, ἡ δ' ἐλλιπὴς, ἢ ἐνδεὴς, τῇ ἀσαφεῖ συμπίπτετον.

§ 343. Διακεκριμένη δέγε, καὶ εὐκρινὴς, ἣν οἱασῦν ἄλλης διακρίνειν δυνάμεθα· οἷον ἡ τῦ σώματος ἰδέα διακεκριμένη ἐςὶν. Ἐκτεταμένον γάρ ἐςὶ, καὶ ἀδιαχώρητον καὶ ἔνθα ἂν τὰ πάθη ταῦτα παρῇ, τὸ ὑποκείμενον αὐτὸ σῶμα πάρεςιν ὄν, ἥτε ἰδέα αὕτη, οἱασῦν ἄλλης ῥᾷςα ἀποκρίνεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 344. Συγκεχυμένη δὲ λέγεται, ἡ ἀφ' οἱασῦν ἄλλης διακρίνεσθαι μὴ οἵατε ὖσα. Ἡ τῦ πόῤῥωθεν ὁρωμένυ τὰ πολλὰ τοιαύτη.

§ 345. Τὴν ἐναργῆ καὶ διακεκριμένην ἀείποτε εἶναι δεῖν φανερόν. Ἀλλ' ὀχὶ καὶ πᾶσα ἐυκρινὴς, ἡ αὐτὴ ἅμα καὶ ἐναργὴς ἐςαι. Ἡ γὰρ τῦ σώματος, ἢ διακεκριμένη ὖσα (345), ταῖς ἀσαφέσιν ἀλλ' ὖν ἐναριθμητέα (338).

§ 346. Ὡσαύτως δὲ καὶ πᾶσα συγκεχυμένη ἀσαφὴς, ἐ πᾶσα δὲ ἀσαφὴς κατ' αὐτὸ καὶ συγκεχυμένη.

§ 347. Ἅπασα καθ' ἑαυτὴν θεωρυμένη ἰδέα, ἐναργής τε ἐςὶ, καὶ ἐυκρινὴς ἐπίσης. Τὸ γὰρ τῆς ἀσαφείας καὶ τῆς συγχύσεως, κατ' ἀναφορὰν ἐςὶ πρὸς τὸ παριςάμενον ὑπὸ τῆς ἰδέας. Ἐκπηγάζει δὲ ἐκ τῆς ἀγνοίας τινῶν, ἃ προσήκει μὲν τῷ νοϐμένῳ, ἡμῖν δὲ ἄδηλα ἐςίν.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

## Περὶ ἰδεῶν ἀφῃρημένων ἢ συγκεκρίμενων, ἔνθα καὶ περὶ ἰδεῶν καθόλυ, ἢ μερικῶν, ἢ τῶν καθ' ἕκαςα.

§ 348. Δι' ἀφαιρέσεως εἴρηται (3) ἰδέας συνίςασθαι, ἐπειδὰν ἀπὸ ἰδέας συνθέτυ τινὰς, ἰδέας ἁπλυςέρας ἔςιν ἃς ἀποτειχίζομεν, τῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέξιν, ἐπειδὴν ἐχ ἁπάσαις ἅμα τὸν νῦν προσέχομεν· ὃ δὴ γίνεται ποικιλαχῶς.

§ 349. Α΄. Ἐπὶ τὴν ἀφαίρεσιν ἀνάγειν δυνάμεθα, καὶ πᾶσαν ἔρευναν τὴν κατὰ μέρη καθιςαμένην, ἅπερ κεχωρισμένα οἷον ἀπ᾽ ἀλλήλων νοεῖται, εἰ καὶ μὴ ἐπὶ τῦ ὑποκειμένυ ὅτω τυγχάνυσιν ἔχοντα.

§ 350. Β΄. Τὸ τῆς ἀφαιρέσεως γίνεται, τὸν τρόπον ἀναπολῦσιν ἄνευ τῆς ὀσίας· οἷον κίνησιν ὡρισμένην, ἄνευ τῦ κινυμένυ σώματος.

§ 351. Γ΄ Καὶ περὶ τέσδε τὸς τρόπυς ἐν ἀφαιρέσει θεωρυμένυς, γένοιτ᾽ ἂν ἀφαίρεσις· οἷον τὸν τῆς κινήσεως διασκέπτομαι διορισμὸν ἄνευ τῆς ταχύτητος.

§ 352. Δ΄. Ἐὰν πολλά τινα πρὸς ἄλληλα παραβαλὼν, τὴν ἑνὸς ἑκάςυ τύτων ἰδέαν ἐκ μέσυ ποιήσαιμι, πρὸς τὸ κοινὸν αὐτοῖς ἅπασι μόνον τὸν νῦν ἐπιςρέφων, ἰδέαν ἀφῃρημένην προσκτῶμαι, ἣν καθόλυ καλῦσι. Τοιαῦται αἱ τῆς ἀνθρωπότητος, τῆς ἐπὶ τὸ κινεῖσθαι δεξιότητος, τῆς ἐν γένει κινήσεως, κξ.

§ 353. Κατὰ δὴ τὸν Α΄. μόνον τῶν τῆς ἀφαιρέσεως τρόπων, καθ᾽ ὃν τὸ μέρος τῦ ὑποκειμένυ ἰδίᾳ ἀνασκεπτόμεθα, ἡ ἀφῃρημένη ἰδέα, δύναταί τι ὃ ἔξω τῆς ψυχῆς ἂν εἴη, ἡμῖν παριςάνειν· κατὰ δὲ τὸς λοιπὸς ὀδαμῶς.

§ 354. Τὸ πάθος τῆς ὀσίας εἶναι χωρὶς κείμενον ἀδυνατεῖ (15). Ἀλλ᾽ ὀδὲ ἡ καθόλυ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰδέα πρωτότυπον ἔχει, τετέστιν ἀντικείμενον ἑαυτῆς ἐκτὸς τῆς ψυχῆς, τὸ δι' αὐτῆς παριστάμενον. Ὁ καθόλε ἄνθρωπος ἐχ ὑφέστηκεν, εἰ μὴ κατ' ἰδέαν· ὑφεστήκασι γὰρ μόνοι οἱ καθ' ἕκαστα. Ἥτε ἀνθρωπότης ἐδαμε, εἰ μὴ ἐπὶ τῶν καθ' ἕκαστα.

§ 355. Καὶ τὴν ἰδέαν δὲ τε ὄντος, ἐξ ἀφαιρέσεως μορφεσθαι κατείδομεν (4). ἐδὲν δὲ μᾶλλον τε ὀρθε λόγε ἐστὶν ἀλλότριον, ἢ ἐντεῦθεν ἐπιφέρειν, αὐτὸ τετο ὑφεστηκέναι, ἕκαστά τε τῶν ὄντων, πρὸς αὐτὸ τὸ ἐν γένει ὂν ἔτω προσαγήκειν, ὡς μηδεμίαν εἶναι, εἰμὴ ἐν αὐτᾷ τέτῳ, τὴν ὕπαρξιν.

§ 356. Τὶς γὰρ δὴ δύναται, πλὴν ἢ κατ' ἰδέαν, τε καθ' ἕκαστα ὄντος τὴν ὕπαρξιν, ἀποστήσασθαι; καὶ μὴν μόνη τῇ τοιᾷδε ἀποζεύξει, ἐμποιεῖται ἡ τε κατὰ γένος ὄντος ἰδέα.

§ 357. Ἡ καθόλε ἰδέα, μερικὴ ἐνίοτε λέγεται, ἀλλὰ κατὰ ἀναφορὰν πρὸς τὴν μᾶλλον καθόλε, τὴν πλείες μερικωτέρας περιλαμβάνεσαν.

§ 358. Αὕτη δὲ δὴ, ἡ τηνικαῦτα τὸ τῆς καθόλε ἰδέας ὄνομα διασώζεσα, ἁπάσας περιλαμβάνει τὰς ἰδέας, ἅσπερ διασκεπτόμεθα. Τοιαύτη ἐστὶ, ἐπιθεωρεντι μοι τὰ τῶν σχημάτων ἐπίπεδα, ἡ πάντα ταῦτα κατὰ γένος παριστῶσα ἰδέα. Πρὸς δὲ δὴ ταύτην τῶν σχημάτων τὰ εὐθύγραμμα, τὰ καμπυλόγραμμα, τὰ μικτόγραμμα, ἰδέαι εἰσὶ μερικαί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 359. Ἐὰν δὲ ταῖς λοιπαῖς μηδαμῶς προσέχοντι, περὶ μόνων τῶν εὐθυγράμμων ἡ σκέψις εἴη, τέτων τότε ἡ ἰδέα καθόλε ἔςαι, ἥτις καὶ αὐτὴ, εἰς ἄλλας μερικωτέρας αὖθις διαμερισθῆναι δυνήσεται.

§ 360. Ἐπιθεωρητέον δὲ καὶ τὰ ἄτομα, ἐπὶ τῆς τῶν ἀνωτέρω ἰδεῶν συςάσεως· τέτων δὲ τῶν ἀτόμων αἱ ἰδέαι, καθ' ἕκαςα καλῦνται καὶ ἑνικαί.

§ 361. Ἔχει τινὰ ταῦτα τὴν χρῆσιν ἐπὶ τῆς τῶν πραγμάτων διασκέψεως, καὶ μάλιςα ἢν ὁ λόγος ᾖ περὶ τῶν γνωριμωτάτων, ἐν γὰρ τοῖς ἄλλοις ἀτελὴς λίαν ἐςὶν ἡ τῆς καθόλε ἰδέας ἐπὶ τὰς κατὰ μέρος διαίρεσις.

§ 362. Διὰ ταῦτα, ἐ πάνυ τι συντελὴς ἐςὶν ἡ παρὰ πολλοῖς, περὶ τῶν κατὰ τὲς Σχολαςικὲς πέντε καθόλε πραγματεία, περὶ ἧς ἀνηνύτως λίαν πλεῖςα ὅσα κινήματα διεζητήθη εἰς κενὸν πληθυνόμενα.

Ἐπεὶ δὲ τέτων τὰ ὀνόματα συνεχῶς ἀπαντᾷ, τίνα ποτὲ τὰ πέντε ταῦτα Καθόλε ἂν εἴη, καὶ δὴ ἐρῶ.

§ 363. Α'. **Γένος** καλῦσιν, ἰδέαν τινὰ καθόλε, πλείςας ἄλλας μερικωτέρας ἐμπεριέχεσαν.

§ 364. Β'. Τὴν δὲ μερικωτέραν ἰδέαν ὀνομάζεσιν **Εἶδος**. Ἀλλὰ τὸ πρὸς τὸ ἀνώτερον γένος,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶδος ὑπάρχον, γένος ἂν εἴη πρὸς τὸ εἶδος τὸ κατώτερον, ὡς περὶ τῶν μερικωτέρων ἰδεῶν ἐλέγετο ( 359 ), αἳ καθόλȣ εἰσὶ πρὸς τὰς ἔτι μερικωτέρας.

§ 365. Γ'. Ἀναφέρεται δὲ τὰ εἴδη τὰ διαφέροντα πρὸς τὸ κοινὸν γένος, ᾗ θεωρεῖται ἐν ἑαυτοῖς, καθ' ὃ κοινωνίαν ἔχȣσιν. Ἀλλ' ἐν ἑκάϛῳ εἴδει, καὶ ἴδιόν τι ἐϛὶν, ȣ̃ ἄνευ τὸ εἶδος αὐτὸ ȣ̓κ ἂν εἴη ληπτόν. Τȣ̃το δὲ εἶδος εἴδȣς ἀντιδιαϛέλλειν πέφυκε, καὶ ἡ κατ' αὐτὸ ἰδέα, τὸ τρίτον τῶν καθόλȣ ἐϛὶν, ἥτις **εἰδικὴ** καλεῖται **διαφορά**.

§ 366. Πολλάκις πλείω τοιαῦτα ἐϛὶ τὰ τὸ εἶδος διακρίνοντα, ἀλλὰ τȣ́των τὸ κυριώτερον τὴν διαφορὰν συνίϛησι.

§ 367. Δ'. **Ἴδιον** καλεῖται τὸ παραπλησίως μὲν προσὸν, μὴ ȣ̓σιωδῶς δὲ τῷ εἴδει προσανῆκον, εἴθεντοι καὶ τȣ́τȣ ἄνευ τὸ εἶδος δύναται νοηθῆναι, ȣ̓χ ὥϛε ἀλλ' ἓν, καὶ μηδεμίαν πάσχειν, τȣ́τȣ ἀπόντος παραλλαγῆντε καὶ ἐξαλλοίωσιν.

§ 368. Λέγεται δὲ τὸ Ἴδιον τετραχῶς.

§ 369. α'. Τὸ μόνῳ ἀλλὰ μὴ παντὶ τῷ εἴδει συμβαῖνον. Τȣ̃το κατὰ μόνων τῶν περιεχομένων ὑπό τι εἶδος ἀτόμων κατηγορεῖσθαι δυνάμενον, ȣ̓μὴν δὲ κατὰ πάντων.

§ 370. β'. Τὸ παντὶ προσῆκον, ἀλλὰ μὴ μόνῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 371. γ΄. Τὸ παντὶ καὶ μόνῳ, ἀλλ' οὐκ ἀεί.

§ 372. δ΄. Καὶ τελευταῖον, τὸ παντὶ, καὶ ἀεὶ, καὶ μόνῳ.

§ 373. Τοῦ ζώου γένους ληφθέντος, εἶδος ὁ ἄνθρωπος· ἴδιον δὲ, πρῶτον μὲν, τὸ τοῖς λόγοις σχολάζειν καὶ τοῖς μαθήμασι· δεύτερον δὲ τὸ δίπουν εἶναι· τρίτον, τὸ φθέγγεσθαι τὰ νοούμενα· τέταρτον, τὸ δύναμιν ἔχειν τοῦ οὕτω φθέγγεσθαι.

§ 374. Ε΄. Δὲ καὶ ἐσχάτη τῶν καθόλου ἰδεῶν τυγχάνει ἡ τοῦ συμβεβηκότος. Οὕτω δὲ καλεῖται, τὸ ἀδιαφθάρτου μένοντος τοῦ εἴδους παρεῖναί τε καὶ ἀπεῖναι δυνάμενον· τὸ ἐν Λεωδίῳ εἶναι ( Leidae ) τῷ ἀνθρώπῳ συμβέβηκε.

§ 375. Ἔφημεν τὰς διαιρέσεις ταύτας μὴ πάνυ πολλῆς εἶναι χρήσεως, εἰ μὴ ἄλις ἄλλοθεν τυγχάνει τὰ πράγματα ἡμῖν γινωσκόμενα. Ἐξαλλοιώσει τοῦ σώματος εἰς τέρας οἷον ὁ ἄνθρωπος ἔχει μεταποιηθῆναι, καὶ οὕτως ἀπὸ γένους εἰς γένος μεταβῆναι, καὶ ἀπὸ εἴδους εἰς εἶδος. Ἀλλ' εἰ τὰ τῆς τροπῆς ἐκ διαδοχῆς γίγνοιτο, τίς ἡμῖν διοριεῖται. καθ' ὅ δήποτε σημεῖον τῆς παραλλαγῆς ὁ ἄνθρωπος μετήμειπται, καὶ ἀντὶ τέρατος ὀφείλει νομίζεσθαι.

Ἀλλ' οὐδὲ ὁ τοῦ ἰδίου διορισμὸς ἄλις κέκριται. Τὸ κατὰ τὸν δ΄. τρόπον ἴδιον, ἀντὶ διαφορᾶς ἔχει ληφθῆναι, τὰ δὲ κατὰ τὸν πρῶτον καὶ τρίτον, τοῖς συμβεβηκόσιν ἔχει ἐναρίθμια τάττεσθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 376. Αἱ κατ' ἀφαίρεσιν ἰδέαι, διά τινος τῆς ψυχῆς ἐνεργείας ἀποτελῦνται. Συγκεκριμένας δὲ καλῦμεν ἰδέας, τὰς ἄνευ τῆς τοιαύτης ἐνεργείας τῇ ψυχῇ παριςαμένας, καθ' ὃ καὶ τῶν ἀφηρημένων ἀντιδιαςέλλονται.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

## Περὶ ἰδεῶν Ἀπολύτων καὶ Σχετικῶν.

§ 377. Σχετικὰς ἰδέας καλῦμεν, δι' ὧν ἡμῖν παράθεσις ἡ μεταξὺ δυεῖν ἰδεῶν παρίςαται (23). Αἱ λοιπαὶ καλῦνται ἀπόλυτοι.

§ 378. Αἱ σχετικαὶ ἰδέαι, ὐδὲν ἡμῖν, τῆς ψυχῆς ἔξω τυγχάνον, ἐμφαίνυσι. Διὸ ἀφεκτέον (ὃ καὶ περὶ τῶν ἐν ἀφαιρέσει παρήνηται) τῦ πρωτότυπόν τι τοιαύτης ἰδέας, ἐν τοῖς ὑφεςῶσι ζητεῖν, ἢ τοῖς εἶναι δυναμένοις.

§ 379. Αἱ παρατιθέμεναι ἰδέαι, ὅροι ἀκόυσιν ἀντισχετικοί· οἷον ὁ πατὴρ καὶ ὁ υἱός· ἡ δὲ πατρότης ἐςὶν ἡ σχέσις.

380. Ὑπὲρ ἀριθμὸν αἱ σχέσεις εἰσίν· ἔςι γὰρ παραθέσεις λαβεῖν ἐξ ἁπασης οἱασῦν ἰδέας, ἔκ τε τῶν ὐσιῶν, καὶ τῶν τρόπων, καὶ αὐτῶν τῶν σχέσεων.

Ὁ τῆς ψυχῆς μετὰ τῦ σώματος σύνδεσμος, σχέσις τις ἐςὶν ἡ μεταξὺ τῶν ὐσιῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παντοῖα χήματα πρὸς ἄλληλα παραβάλλοντες, ἰδέας πορίζόμεθα τῶν μεταξὺ τῶν τρόπων χέσεων.

Ἡ δὲ ἰδέα σφαίρας χρυσῆς, χέσιν παρέχεται ἰδεᾶσθαι τὴν μεταξὺ ἐσίας τε ϗ τρόπε.

Ἀλλὰ ϗαὶ ἐξ αὐτῶν δὴ τῶν χέσεων, χέσεις ἄλλαι ἀναθορεσιν. Οἷον ἐννοήσας, ὅτι τὸ δὶς τρία ἐν τοῖς ἕξ περιέχεται, ἀνατυπεμαι τὴν μεταξὺ δυεῖν χέσεων χέσιν.

§ 381. Πάνθ᾽ ὅσα περὶ τῶν ποσοτήτων διορίζεσθαι δύναται, ἐπὶ τὰς χέσεις ἀνήκοντα ἐςί. Ποσὸν δὲ καλεμεν τὸ ἄυξεσθαι ϗ μειεσθαι πεφυκός.

§ 382 Οὐδὲν μέγα λέγεσθαι δύναται, εἰ μὴ κατὰ ἀναφορὰν πρὸς τὸ ἔλαττον. Ἡ δὲ ἰδέα ἄυτη ἀοριςαίνει.

Μέγα ζῶον ὁ μῦς παραβαλλόμενος τῷ μήρμυκι, μικρὸν δὲ τῷ ἐλέφαντι.

Ὡσαύτως τὸ βαρὺ τε ςαθμε, τὸ μακρὶν τε βίε, τὸ ἀμβλὺ ϗαὶ νωθρὸν τῆς διανοίας, τὸ ταχὺ τῆς κινήσεως, χέσεις ἐκφέρεσι.

§ 383. Περὶ δὲ τὸ ποσὸν θεωρητέον, ὅτι καθ᾽ ἑαυτὸ πως ὥρισαι, ϗαὶ ὁ διορισμὸς ἔτος ἐκ ἔςι χέσις. Μοναδικῶς γάρ τις ἀναθεωρεμένη ποσότης, μηδέ τινος ἄλλης προσπαραληφθείσης, διωρισμένη τυγχάνει καθ᾽ ἑαυτὴν, ϗ ἰδέα τηνικαῦτα χέσεως ἐδεμία ἐγχωρεῖ.

Ἀλλ᾽ ἡ ποσότης ἄυτη ἡ ἔτω πως νοεμένη, ἔτε μεγάλη τις ἂν λέγοιτο, ἔτε μικρά· ϗ ἐδεὶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν πάντων ἀνθρώπων, τῆς τοιαύτης διαστάσεως ἰδέαι εὐκρινῆ κέκτηται.

§ 384. Δῆλον δὲ ἐξ ὧν ἅπαντες, περὶ τὰς τῶν μεγεθῶν ἀναφορὰς κρίνουσιν, ἅττα ἐκ ἀμέσως, ἢ διὰ μέτρου κοινοῦ προσληφθέντος, παραβαλεῖν ἔχουσιν. Θαυμαστὸν οὖν ὅσον αἱ κρίσεις διαφέρουσι περὶ Σελήνης μεγέθους, γυμνοῖς ὀφθαλμοῖς καθορωμένης. Καὶ περὶ μεγέθους δὲ παντὸς ἀφεστῶτος, τῷ αὐτῷ τηλεσκοπίῳ, ὑπὸ διαφόρων διοπτευομένου.

§ 385. Ἐπειδὰν ἡ σχέσις ἔχει διορισθῆναι, τότε δὴ καὶ τῆς αὐτῆς σχέσεως, ἐν διαφέρουσιν ἀνθρώποις, αἱ ἰδέαι εἰσὶν αἱ αὐταί. Διὰ τοῦτο δὲ, οὐδὲ προσέχουσιν ἄνθρωποι, τῇ διαφορᾷ τῶν ἰδεῶν τοῦ μεγέθους ἐπὶ τῶν αὐτῶν ἀντικειμένων. Αἱ γὰρ κρίσεις, οὐ περὶ αὐτὰ τὰ ποσὰ, περὶ δὲ τὰς τούτων σχέσεις μόνον στρέφονται.

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

## Περὶ ἰδεῶν, αἷς ἀντιλαμβανόμεθα τὰ κατὰ τὴν ψυχὴν συμβαίνοντα.

Ἐπὶ τὴν τῶν ἰδεῶν μεταβαίνω διαίρεσιν, τῶν πρὸς ἡμᾶς αὐτοὺς ἰδιαιτέραν τινὰ ἀναφορὰν ἐχουσῶν.

§ 386. Πᾶσα ἰδέα, ἤτοι πρὸς τὴν ψυχὴν αὐτὴν ἀναφέρεται, ἢ πρὸς τὰ ἐκτὸς αὐτῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπειδὴ δὲ ὑπὸ τῇ διαιρέσει ταύτῃ, ἅπασαι ἁπαξαπάντων αἱ ἰδέαι τῶν ὄντων ἐμπεριλαμβάνονται, κἀκεῖνα ἃ μέχρι τούτου ὑφηγησάμεθα, περί τε τῶν ὄντων κατὰ γένος ἐν τῷ Α΄. βιβλίῳ, καὶ περὶ τῶν ἰδεῶν αὐτῶν ἐν τῷ ἀνὰ χεῖρας, ἐνταῦθα ἔπεστιν ἀναγαγεῖν. Ἀλλ' ἔστιν ἃ εἰδικώτερα ἐπὶ τοῦ παρόντος παρατηρητέα περὶ τῶν ἰδεῶν, δι' ὧν ἡμῖν αἱ τῆς ψυχῆς ἐνέργειαι, καὶ αἱ διαθέσεις ἐμπαριστάνονται.

§ 587. Εἰς μὲν οὖν τὰς τῆς ψυχῆς ἐνεργείας ἀνακτέον, τὸν τῆς θελήσεως διορισμὸν, τὴν προσοχὴν, τὴν μνήμην, ἥτις ὁλοσχερέστερον καὶ τὴν φαντασίαν συμπερείληφε, τὰ κατὰ ψυχὴν πάθη, οἷον ὀργὴν, θυμὸν, μῖσος, κτλ: ἐπὶ γὰρ τούτων ἁπάντων ἐνεργητικῶς πως ἔχειν ἡ ψυχὴ καταφαίνεται.

§ 588. Ἐπὶ δὲ τῶν ἄλλων τῆς ψυχῆς διαθέσεων, ἄνευ τινὸς ἐνεργείας σφίσιν αὐτὴν παριστῶμεν· οἷον ἐπὶ τῆς χαρᾶς, ἢ λύπης, ἢ πείνης, ἢ δίψους, καὶ τῶν ὁμοίων.

§ 5:9. Ἀνακτέον δ' ἐνταῦθα καὶ τὰ αἰσθήματα τῶν ὀσμῶν, καὶ τῶν ἤχων, καὶ τὰ κατὰ τὴν γεῦσιν, καὶ τὰ κατὰ τὴν ἀφὴν παντοῖα, καὶ τὴν ὅρασιν· τουτέστι δὴ τὰ αἰσθήματα τοῦ θερμοῦ, τοῦ ψυχροῦ, τοῦ τραχέως, τοῦ λείου, τοῦ φωτὸς, καὶ τῶν χρωμάτων.

§ 590. Περὶ τοῦ διορισμοῦ τῆς θελήσεως ἀνωτέρω διειληφότες ἐσμὲν (108 κτλ).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 591. Προσοχὴν καλῦμεν ψυχῆς ἐνέργειαν, τῇ αὐτῇ ἰδέᾳ χρονιώτερον ἐνδιατριβέσης· περὶ ἧς ἐν τοῖς ἑξῆς, δι' ἣν ἔχει ἰδιαιτέραν πρὸς εὕρεσιν ἀληθείας χρῆσιν, πραγματευτέον.

§ 592. Καὶ περὶ μνήμης δὲ, τὰ μὲν εἴρηται (104. 192. 193). Τὰ δὲ ἄττα κἀν τοῖς ἑξῆς προσεθήσεται. Νῦν δὲ σημειωτέον, ὡς ἡ τῆ ἀναπεμπάζεσθαι τὰς ἰδέας δύναμις, **Φαντασία** καλεῖται, ἐὰν αἱ ἰδέαι ὦσι ὑπὸ τῶν ἐκτὸς σωμάτων αἰτιωδῶς διεγειρόμεναι. Καὶ περὶ ταύτης δὲ ἐν τοῖς ὕστερον αὖθις διαληπτέον.

§ 593. Ἀλλὰ καὶ περὶ τῶν παθῶν τῆς ψυχῆς ἀνωτέρω εἴρηται (212. 213.), καί τοι καὶ περὶ αὐτῶν τέτων ἐν τοῖς ἐφεξῆς ἐστὶν ἄττα ἔτι παρατηρητέον.

§ 594. Περὶ χαρᾶς, λύπης, πείνης, δίψες, ἐδὲν ἀπαντᾷ δυσξύμβλητον. Κατάστασις γάρ τις ἐστὶ τῆς ψυχῆς αἵδε, ἃς ἀμέσως ἡ ψυχὴ σύνοιδε.

§ 595. Ἀλλ' ἐπειδὰν περὶ τῶν ἰδεῶν ὁ λόγος, ἃς διὰ τῶν αἰσθήσεων πορίζομεθα, εἰάθαμεν τὰ πολλὰ τοῖς ἐκτὸς ἀπονέμειν, ἄττα πρὸς τὴν ψυχὴν αὐτὴν δικαιότερον ἦν ἀνακτέον. Ἦχος γὰρ, καὶ ὀδμαὶ, καὶ χροιαὶ, ἐχὶ τοῖς πράγμασι, τῇ δὲ ψυχῇ προσανήκεσι.

§ 596. Ἀντιλαμβανομένε με τῆ ἤχε, ἐδὲν ἕτερον ἐστὶν ἐπὶ τῆ κώδωνος συμβὰν, παρὰ τὴν τῶν ἐν αὐτῷ ἐλαχίστων μορίων τρομάδη κίνησιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ ἤδη ἐρυθρὸν ἐμοὶ καθωρόμενον, τῆς τῶν κατ' ἐπιπολὴν αὐτῦ μορίων ὑφῆς, ἢ παχύτητος, ἐξαμειφθείσης, πυῤῥὸν ὀφθήσεται, χλωρὸν, κυανὸν, ἰόχρϐν.

§ 397. Διαζευκτέον δὲ ἀπὸ τῦ αἰσθήματος, τὰς ἰδέας ἃς ἐντεῦθεν ἐπιφέρομεν· οἷον ἐπιφανείας τραχυτέρας ἐφαπτόμενος τῇ χειρὶ, ὡς ἐκ τῦ αἰσθήματος ἐπιφέρω, ἀνωμαλίας εἶναι τινὰς ἐλάσσονας ἐπὶ τῆς ἐπιφανείας. Ἀλλ' ἡ ἰδέα αὕτη, τῷ παντὶ ἀφέστηκε τῦ τὴν ψυχὴν διαθεμένϐ αἰσθήματος.

Καίτι τῶν χρωμάτων καθορῶν, εἰσβάλλω, ἐπιφάνειαν εἶναι τινὰ, πρὸς ἣν αὐτὸς τὴν χροιὰν ἀνατίθημι, τὴν δὲ, τὴν ἐπιφάνειαν εἶναι τῦ καθορωμένϐ σώματος, ταῦτα γεμὴν τῦ χρώματος αὐτῦ διακρίνειν δεῖ.

§ 398. Περὶ τῶν αἰσθημάτων διηπόρηται, εἰ ἐν ἅπασιν ἀνθρώποις εἰσὶ τὰ αὐτά. Ἀλλὰ τὶς ἂν εἴη, ὁ τὴν ἀπορίαν ἡμῖν ταύτην ἐπιλυσομένος;

§ 399. Δύο τινὲς ταυτὸ θεῶνται σῶμα ὃ κέχρωσαι· ἄμφω δὲ τὴν χροιὰν ταύτην ἐρυθρὰν καλεῖσθαι ἀκϐϐσιν. Ἑκάτερος ἓν, ὁσάκις ἂν τὴν αὐτὴν αἴσθησιν, ἧς ἤδη ἀντιλαμβάνεται, κατὰ ψυχὴν αἴσθηται ἐπανιϛσαν, χροιὰν ἐρυθρὰν θεᾶσθαι φήσει. Πότερον δ' ἆρα, τὸ αὐτὸ αἴσθημα τυγχάνει ὂν, ὃ τῷ αὐτῷ ἄμφω ὀνόματι ἑρμηνεύϐσι; τετέσιν, ἆρ' ἑκατέρϐ ἡ ψυχὴ, χροιὰν ἀμφοτέρων ἐρυθρὰν θεᾶσθαι λε-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γόντων, τὸν αὐτὸν διατίθεται τρόπον, ἐκ ἔστιν ὅλως ἐδεμίᾳ μηχανῇ διορίσασθαι. Τὰ δ' αὐτὰ καὶ περὶ τῶν κατὰ τὰς λοιπὰς αἰσθήσεις ἀντιλήψεων ῥητέον.

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

## Γενικά τινα περὶ Κρίσεων.

§ 400. Κρίσις ἐστὶ δυεῖν ἰδεῶν παράθεσις, καὶ τῆς μεταξὺ τέτων σχέσεως πρόσληψις. Περὶ σχέσεων ἅλις τὰ εἰρημένα, ῥητέον δὲ ἤδη περὶ τῆς τέτων προσλήψεως ἀκριβέστερον.

§ 401. Οὐδὲν ἐπὶ τῆς κρίσεως ἕτερον ἐστὶ, πλὴν ἢ πρόσληψις. Οἱ δὲ πρὸς τἕτο, τὸν κατὰ θέλησιν διορισμὸν ἀπαιτεῖσθαι εἰσηγέμενοι, τῇ τῶν προσλήψεών τε καὶ κρίσεων φύσει, ἐ πάνυ τι προσεσχηκέναι τὸν νἕν ἐοίκασι.

§ 402. Ὁ τῆς θελήσεως διορισμὸς, ἀφορώη ἂν τυχὸν τὰ τῆς κρίσεως αὐτῆς προηγέμενα· ἵνα γὰρ αὕτη γένηται, δύο παρεῖναι δέον ἰδέας, περὶ δὲ ταύτας τὸ βελητικὸν διαφόρως ἂν ἀναστρέφοιτο, οἷον ἐφ' ᾧ ταύτας ἀνακαλέσαι, ἐφ' ᾧ ταύταις προσχεῖν, ἀλλ' ἔπω τηνικαῦτα κρίσις ἐπάγεται. Διῄρηται γὰρ τῶν ἰδεῶν τέτων ἡ κρίσις, κἂν τέτων ἄνευ, φύσιν ἐκ ἔχει ἐπάγεσθαι.

§ 403. Ἐθ' ἂν δὲ αἱ ἰδέαι παρῶσιν, ἡ κρίσις ἕπεται· ὁ γὰρ τὰς ἰδέας προσλαμβάνων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τέτων μεταξὺ ἐγχωρῦσαν ἅμα καθορᾷ χέσιν, ἢ γῦν σύνοιδε μὴ ἔχειν ἀμέσως αὐτὰς παραβάλλεσθαι· ἀλλὰ ἢ τῦτο χέτις· ἤτε ταύτης πρόσληψις, Κρίσις. Ὁ δὲ τὴν κρίσιν, τῆς δυεῖν ἰδεῶν προσλήψεως διίςησι, ὁ τοιῦτος ἔοικεν εἰσηγεῖσθαι, μηδαμῶς τὴν ψυχὴν τῶν ἰδεῶν ἀντιλαμβάνεσθαι, ὧν ἀντιλαμβάνεται.

§ 404. Φωναῖς ἡ κρίσις ἐκφερομένη, καλεῖται **Πρότασις**, **Ἑρμηνεία**, **Ἀπόφανσις**, δἰ ὧν ὀνομάτων ἐν γένει ἐπισημαίνομεν, ἅπασαν τὴν μεταξὺ δυεῖν ἰδεῶν ἐγχωρῦσαν χέσιν, ὁπότε ῥήμασιν αὕτη ἐκφέρεται, καί τοι μὴ ἀμέσως ἦσαν ληπτήν.

§ 405. Ἐφ' οἱασῦν ἰδεῶν χέσεως, ἡ ἑτέρα ἀεὶ πρὸς τὴν ἑτέραν ἀνάγεται, τυτέςι κατὰ τῆσδε τῆς ἑτέρας, καταφάσκεταί τι, ἢ γῦν ἀποφάσκεται.

§ 406. Ἡ καταφασκομένη, ἢ ἀποφασκομένη ἰδέα καλεῖται τὸ **κατηγορύμενον**, ἢ τὸ ἀποδιδόμενον, ἡ δὲ καθ' ἧς, τὸ **ὑποκείμενον** τῆς προτάσεως.

§ 407. Αἱ δὲ φωναὶ δἰ ὧν τὸ ὑποκείμενον καὶ τὸ κατηγορύμενον ἐκδηλῦται, τῆς προτάσεως ἀκύυσιν **ὅροι**.

§ 408. Συνάπτονται δὲ οἱ ὅροι ἤτοι συνδέσμῳ τινὶ, ὑφ' ὗ ἡ κατάφασις, ἢ ἀπόφασις διορίζεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 409. Ἀλλ' εἰ καὶ πᾶσα πρότασις ἀναγκαίως, ἐκ τῶν δισσῶν τουτωνὶ ὅρων, καὶ τοῦ συνδέσμου συγκροτεῖται, οὐκ ἀεὶ μέντοι ταῦτα πάντα ἐκφέρεται. Ὁ Πέτρος βαδίζει, σημαίνει ὅτι ὁ Πέτρος ἐστὶ βαδίζον. Τὸ, ἀναγινώσκω, συμπίπτει εἰς ταὐτὸ τῷ λόγῳ, ἐγὼ εἰμὶ ἀναγινώσκων.

§ 410. Οἱ τῆς προτάσεως ὅροι, ἤτοι ἁπλοῖ εἰσὶν, ἢ συμπεπλεγμένοι.

§ 411. Ἁπλοῖ μὲν οἱ διὰ μιᾶς ἐκφερόμενοι φωνῆς, οἷον ἥλιος, συμπεπλεγμένοι δὲ, οἱ διὰ πλειόνων. Οἷον τὸ σῶμα τὸ ἐπὶ τοῦ τῶν πλανητῶν συστήματος μέγιστον.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

## Περὶ Προτάσεων Καθόλου καὶ Μερικῶν.

§ 412. Πλεῖστα παρὰ τοῖς Διαλεκτικοῖς περὶ διαιρέσεως προτάσεων φέρεται, ὧν βραχέα, ἅμοι ὠφελείας δοκεῖ ἐχόμενα, ὑποθήσω, τὰ μὲν κυριώτερα τῶν λοιπῶν συντόμως διελθὼν, τὰ δὲ πλείω ὑπερβαίνων.

§ 413. Τῶν προτάσεων αἱ μὲν εἰσὶ Καθόλου, αἱ δὲ Μερικαὶ, αἱ δὲ Ἑνικαὶ καὶ καθ' ἕκαστα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 414. Καθόλȣ ἐςὶν, ἧς τὸ ὑποκείμενον, ἧπερ οἷόντε ἐκτείνεται, μηδ' ἑνὸς γȣ̃ν ἀτόμȣ ἐξαιρȣμένȣ, ἐκφέρεται διὰ τῶν ἑξῆς φωνῶν, **πᾶς, ȣ̉δείς**· Οἷον **πᾶς ἄνθρωπος ἐςὶ ψεύςης, ȣ̉δεὶς λίθος νοεῖ.**

§ 415. Μερικὴ δὲ ἐςὶν, ἧς τὸ ὑποκείμενον συνέςαλται· οἷον **τὶς ἄνθρωπος ἐςὶ χρηςὸς· τινὲς λίθοι ȣ̉κ εἰσὶ σφαιρικοί.**

§ 416. Ἐπὶ τῆς ἑνικῆς καὶ καθ' ἕκαςα, τὸ ὑποκείμενον ἐςὶν ἄτομον· οἷον ὁ **Ἀριςοτέλης ἐςὶν ὁ τῶν φιλοσόφων ὕπατος.**

§ 417. Αἱ τοιαίδε προτάσεις ἐπὶ τὰς καθόλȣ ἀνάγονται, λόγος γὰρ ἐν αὐταῖς, περὶ ὁλοχερȣ̃ς τῆς τȣ̃ ὑποκειμένȣ ὅσης ἔλαχεν ἐκτάσεως.

§ 418. Οὐκ ἀεὶ ἐκ μόνων τῶν λεγομένων, περὶ τȣ̃ καθόλȣ, ἢ ἐν μέρει τὴν πρότασιν ἀποφαίνεσθαι δικαςέον, προσεκτέον δὲ πολλάκις τῷ νῷ τȣ̃ λέγοντος. Οὐδεὶς περὶ πάντων ἀνθρώπων νοεῖσθαι βȣ́λεται, ἐν ᾧ περὶ τινος τυχὸν λέγει φάσκων ὅτι τοῖς πᾶσι δῆλον ἐςί.

§ 419. Ἔςι δὲ προτάσεων εἴδη τέτταρα, ὡς ἐκ τȣ̃ καθόλȣ καὶ τȣ̃ κατὰ μέρος αὐτὰς εἶναι, ἣν καλȣ̃σι **ποσότητα** τῶν προτάσεων, καὶ τȣ̃ καταφάσκειν, ἢ ἀποφάσκειν, ἣν **ποιότητα** ὀνομάζȣσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Α΄. Πρότασις ἡ Καθόλε ἐςὶ καταφάσκεσα. Β΄. Ἡ ἐν μέρει καταφάσκεσα. Γ΄. Ἡ Καθόλε ἀποφάσκεσα. Δ΄. Ἡ ἐν μέρει ἀποφάσκεσα.

§ 420. Αἱ τὸ αὐτὸ ὑποκείμενον καὶ κατηγορέμενον ἔχεσαι προτάσεις, ποιότητι διαφέρεσαι, ἀντίθετοι λέγονται· τετέςιν ὧν ἡ μὲν καταφάσκεσα ἐςὶν, ἡ δὲ ἀποφάσκεσα.

§ 421. Ποικιλαχῶς δὲ αἱ προτάσεις ἀντίκεινται. Εἰ μὲν γὰρ τῷ ποιῷ, καὶ ἐχὶ τῷ ποσῷ διαφέρεσι, καλἔνται ἐναντίαι, ἄμφω δηλαδὴ καθολικευόμεναι, οἷον πᾶς ἄνθρωπος νοεῖ, ἐδεὶς ἄνθρωπος νοεῖ.

§ 422. Εἰ δὲ ἐν μέρει τύχωσιν ἀποφαινόμεναι, ὑπεναντίαι· οἷον τὶς ἄνθρωπος ἐςὶν ἐσθλὸς, τὶς ἄνθρωπος ἐκ ἔςιν ἐσθλὸς.

§ 423. Ἀντιφάσκεσαι δὲ καλἔνται, αἱ καὶ ποσότητι καὶ ποιότητι διαφέρεσαι· οἷον οἱ Τἔρκοι πάντες τὰ τἔ Μωάμεθ θρησκεύεσι· Τἔρκος τις ἐ θρησκεύει τὰ τἔ Μωάμεθ.

§ 424. Ἐπὶ τῆς κοινῆς χρήσεως, μόναι ἀντιφάσκεσαι καλἔνται, ἃς ἐναντίας λέγεσθαι ἔφημεν (421).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Θ΄.

## Περὶ Προτάσεων ἁπλῶν· ἔνθα καὶ περὶ συμπεπλεγμένων ἢ παρεμβεβλημένων.

§ 425. Τῶν προτάσεων, αἱ μὲν ἁπλαῖ, αἱ δὲ σύνθετοι εἰσὶ.

§ 426. Καὶ ἁπλῆ μὲν, ἧς τὸ ὑποκείμενον ἓν, ἢ ἓν δὲ ἢ τὸ κατὰ τȣ ὑποκειμένȣ καταφασκόμενον, ἢ ἀποφασκόμενον, ἤτοι τὸ κατηγορȣ́μενον· οἷον ὁ Πέτρος ζῇ.

§ 427. Τῇ δὲ συνθέτῳ ἤτοι τὰ ὑποκείμενα, ἢ τὰ κατηγορȣ́μενα, πολλά. Ἥλιος καὶ Σελήνη, σώματα εἰσὶ σφαιρικά. ὁ Ἥλιος, σφαιρικός τε ἐςὶ καὶ φωτεινὸς.

§ 428. Αἱ ἁπλαῖ προτάσεις καλȣ̃νται συμπεπλεγμέναι, ἐὰν τῶν ὅρων θάτερος ἐν αὐταῖς ὑπάρχῃ συμπεπλεγμένος (411), τȣτέςιν ἐὰν τὸ ὑποκείμενον, ἢ τὸ κατηγορȣ́μενον, διὰ συνεπιπλοκῆς φωνῶν ἐκφέρηται.

§ 429. Τηνικαῦτα δὲ ἐν ὕλῃ εἶναι συμπεπλεγμένη ἡ πρότασις λέγεται, ὅτι τὸ ὑποκείμενον καὶ τὸ κατηγορȣ́μενον τὴν ὕλην τῆς προτάσεως συμπληροῖ. Οἷον ἐὰν ἐπὶ τῆς, ὁ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἥλιος ἐςὶ λαμπρὸς, ἀντὶ τȣ̃ ἡλίȣ τεθῇ, τὸ σῶμα, τὸ ἐπὶ τȣ̃ τῶν πλανητῶν συςήματος, μέγιςον, ἡ πρότασις ἔςαι συμπεπλεγμένη. Καὶ τοιαύτη δ' ἂν ἦν, κἂν εἰ ἀντὶ τȣ̃ λαμπρȣ̃ θείην, πανταχόθεν τὰς τῶν ἀκτίνων μαρμαρυγὰς προϊέμενος.

§ 430. Ἔςιν ὅτε συμπεπλεγμέναι εἰσὶν αἱ προτάσεις κατ' αὐτὸ τὸ εἶδος, τȣ̃ συνδέσμȣ δηλονότι δι' ἐπιπλοκῆς φωνῶν πλειόνων ἐκφερομένȣ· συμβαίνει δὲ τȣ̃το, ἡνίκα ἡ κατάφασις, ἢ ἀπόφασις, ὁρίοις τισὶ περατȣ̃ται, ὡς ἐὰν εἴπω, ἐμοὶ δοκεῖν, ȣ̓χ ἁπλῶς καταφήσω, ἢ ἀποφήσω. Ἀλλ' ἐὰν εἴπω, ὅτι ἐμοὶ βέβαιον, τότε δὴ ȣ̓ μόνον καταφήσω, ἢ ἀποφήσω τὸ κατηγορȣ́μενον κατὰ τȣ̃ ὑποκειμένȣ, ἀλλ' ἔτι δὴ προσαποφαινȣ̃μαι καὶ περὶ τȣ̃ λεγομένȣ βεβαιότητα ἔχειν.

§ 431. Καλȣ̃νται δὲ αἱ ȣ̃τως ἔχȣσαι προτάσεις, τροπικαὶ ὁσάκις, ἡ κατάφασις, ἢ ἀπόφασις, ἑνὶ τῷ τῶν τεσσάρων τȣτωνὶ διατίθεται τρόπων, κατὰ τὸ Ἀναγκαῖον, κατὰ τὸ Ἐνδεχόμενον, κατὰ τὸ Δυνατὸν, κατὰ τὸ Ἀδύνατον.

§ 432. Ἐπὶ πασῶν τῶν ὡς ἐκ τȣ̃ εἴδȣς συμπεπλεγμένων προτάσεων, παρὰ τὴν κυρίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέραν πρότασιν, καὶ δευτέρα τις ἐγχωρεῖ, ἣν παρεμβεβλημένην καλοῦσι, καὶ ἐμπίπτουσαν. Οὐ γὰρ οἷόν τε προτάσεως τὴν κατάφασιν καὶ ἀπόφασιν προσδιορισθῆναι, ἢ τροπολογηθῆναι, εἰμὴ παρεμβολῇ τε καὶ παρενθήκῃ ἑτέρας προτάσεως.

Λέγων δὴ τόδε μοι δοκεῖν, ἢ ὅτι βέβαιος αὐτὸς εἰμὶ, ἢ ὅτι δυνατὸν τὸ τοιοῦτο, διὰ τούτων τε καὶ τῶν παραπλησίων προτάσεις ἐκφέρω, ἀπὸ τῶν, περὶ ὧν εἰπεῖν πρόκειται, διακρινομένας.

§ 433. Περὶ δὲ τὰς παρεμπιπτούσας ταύτας παρατηρητέον, ὅτι τὰ πολλὰ, δι' ἁπλῆς ἀποφάνσεως τὴν ἐμπίπτουσαν, περιεχούσης τῆς κυρίας, οὐκ εὐδιόριστον, τίς ποτε ἡ ἄρχουσα, καὶ τὶς ἡ παρεμβεβλημένη, εἰ μὴ ἐκ τῶν ἄλλοθεν γινωσκομένων τουτὶ ἐπιφέροιτο.

§ 434. Ἐὰν εἴπω, συνᾴδειν τοὺς Ἀστρονομοῦντας τὴν γῆν κινεῖσθαι, δισσαὶ πάρεισι τῷ λόγῳ προτάσεις, οὐ γὰρ μόνον ἡ τοῦ τὴν γῆν κινεῖσθαι κατάφασις πρόκειται, ἀλλὰ καὶ πάντων τῶν Ἀστρονομούντων, ταύτην εἶναι τὴν δόξαν προστίθεται. Εἴτις δ' ἂν καὶ ᾖ ἐν αὐταῖς ἡ κυρία, εὔδηλον ὅτι οὐχ ἁπλῆ τις ἐστὶν ἡ ἀπόφανσις, ἀλλὰ συμπέπλεκται.

§ 435. Ἐὰν ᾖ ὁ λόγος περὶ κινήσεως τῆς γῆς, τὰ περὶ τῶν Ἀστρονομούντων εἰρημένα πα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρεμβέβληται, καὶ τόγε ταῦτα ἀληθεύειν, ἢ μὴ, τὴν πρότασιν αὐτὴν ἥκιστα ἀφορᾷ.

§ 436. Ἐὰν μέντοι περὶ τῆς δόξης τῶν Ἀστρονομέντων, κινῆται τὸ ζήτημα, ἡ τῆς γῆς ἀναφερομένη κίνησις, παρεμβέβληται, καὶ τὸ περὶ τούτου ἀληθὲς, ἢ τὸ ψεῦδος, οὐδὲν αὖθις πρὸς τὴν ἀρχικὴν φέρει πρότασιν.

§ 437. Ἡ παρεμβεβλημένη πρότασις διὰ τῶν ἀναφορικῶν πολλάκις μορίων, ὃς, ἣ, ὃ ἐκφέρεταί τινος. Τὸ δὲ ἤτοι ἀναπτύσσει τὸ λεγόμενον, ἢ προσδιορίζει, καὶ ἐὰν ᾖ τὸ δεύτερον, τότε δὴ πρὸς τὴν κυριωτέραν τὸ τῆς παρεμπιπτούσης ἥκιστα ἀδιαφορεῖ. Ἐὰν εἴπω, ὡς οἱ Ἄγγλοι, οἳ λευκοὶ εἰσὶν, εὐφυεῖς τυγχάνουσι, τὸ, οἳ λευκοὶ εἰσὶν, κατ᾽ ἐπεξήγησιν λεγόμενον, παροφθείη ἄν. Ἀλλ᾽ ἤν τις φαίη, ὡς οἱ ἄνθρωποι, οἳ τὴν ἀρετὴν τιμῶσι, τῷ Θεῷ προσφιλεῖς εἰσὶ, τὸ ἐπιφερόμενον, οἳ τὴν ἀρετὴν τιμῶσι, τὸ ὑποκείμενον προσδιορίζει τῆς κυριωτέρας προτάσεως. Ἀλλ᾽ ἐκ τῆς διανοίας τοῦ φθεγγομένου, ἐκ ἀδήλου ἄλλοθεν οὔσης, διακριτέον τὰ πολλὰ, πότερον ἐπεξήγησις ὑπάρχει, ἢ προσδιορισμὸς τὸ ἐπιφερόμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

# Περὶ τῶν Συνθέτων Προτάσεων.

§ 438. Τίποτε ἐςὶν ἡ Σύνθετος πρότασις εἴρηται (427), ἔςι δὲ διττή.

§ 439. Ἤτοι γὰρ ἡ σύνθεσις ἀνεπτυγμένως ἐκφέρεται, ἢ ἐχ ἕτω. Καὶ εἰ τῦτο, αἱ προτάσεις, ἐκθέσεως εἶναι λέγονται ἐπιδεεῖς, δι' ἧς ἂν σαφὴς ἡ σύνθεσις γένοιτο.

§ 440. Οἷον ἡ πρότασις, ὁ Δίων ἐπανῆλθεν εἰς τὴν ἑαυτῦ πατρίδα, ἵνα τὴν τυραννίδα καθέλῃ, ἀνεπτυγμένως σύνθετος ἐςίν.

§ 441. Τῶν δὲ ἕτω συνθέτων προτάσεων ποικίλα τὰ εἴδη. Εἰσὶ γὰρ αἱ μὲν Συζευκτικαὶ, αἱ δὲ Διαζευκτικαὶ, αἱ δὲ Αἰτιολογικαὶ, πρὸς ἃς ἀνάγονται αἱ Ἐπαναληπτικαὶ, αἱ δὲ Σχετικαὶ, αἱ δὲ Διακριτικαί.

§ 442. Τὸ ἐπὶ τῦ ἀνωτέρω ἀριθμῦ (440) παραχθὲν, δεῖγμα ἂν εἴη αἰτιολογικῆς προτάσεως, τὰ δὲ ἐπὶ τῦ (427), συζευκτικῆς.

§ 443. Ἀλλ' ἡ πρότασις, ὅτι σίδηρος πεπυρακτωμένος ἂν, ζέοντος ὕδατος ἐςὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θερμότερος, δεῖται ἐκθέσεως· σημαίνει γὰρ ἀμφοτέροις μὲν θέρμης μετεῖναι· ἐπὶ δὲ τούτῳ, καὶ τόδε, ὅτι τῷ σιδήρῳ μέτεστι πλείονος.

§ 444. Εἰσὶ δὲ καὶ τῶν ἐκθέσεως δεομένων, εἴδη ποικίλα, αἱ μὲν εἰσὶν Ἀποκλειστικαὶ, αἱ δὲ Ἐξαιρετικαὶ, αἱ δὲ Συγκριτικαὶ, αἱ δὲ Ἀρκτικαὶ, αἱ δὲ Ληκτικαί. Καὶ συγκριτικὴ μὲν, ἡ ἐπὶ τοῦ πρό τοῦδε ἀριθμοῦ.

§ 445. Τούτων δὲ συντόμως ἐμνήσθην, ἵνα δῆλον γένηται, ὅσον αἱ τῶν προτάσεων διαιρέσεις πεπλήθυνται. Ἀλλὰ γὰρ εἴπερ, τὴν περὶ ἑκάστου εἴδους τούτων ἀνάπτυξιν ἀναλάβοιμι, καὶ περὶ τῶν τρόπων διέλθοιμι, οἷς παντοίως ἡ κατὰ τούτων τελεῖται ἀντίῤῥησις, προσεπιθείην δὲ, καὶ ὅσα περὶ τῆς τῶν προτάσεων ἀντιστροφῆς ἀκριβολογεῖται, πλεῖστα ἂν ὑποθοίμην, εἰς ἀνακάλυψιν τῆς λανθανούσης ἀληθείας οὐ πάνυ τι συμβαλλόμενα.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

## Περὶ Ἀληθείας καὶ Ψεύδους.

§ 446. Πᾶσα ἰδέα καθ᾽ ἑαυτὴν θεωρουμένη ἀληθής ἐστι τουτέστιν ἐπ᾽ ἀκριβὲς ἐστὶν, ὃ παρίστησι, παριστῶσα. Εἴτε τοῦτο ἄλλως, τῷ ὄντι ὑφιστάμενον εἴη, εἴτε καὶ μή.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡσαύτως καὶ πᾶν ὂν καθ᾿ ἑαυτὸ θεωρέμενον, ἀληθὲς ἐςίν. Ἀμέλειτοι γὰρ ἕκαςον ἐςὶν ὅπερ ἐςίν.

§ 447. Ταῦτα μὲν ἀμφιβαλεῖται πάντως ἐδεὶς, τὸ γεμὴν ἔτω τ᾿ ἀληθὲς ἐπιθεωρεῖν, ἀλυσιτελές. Διασκεπτέον τὴν ἀλήθειαν, ἣ πρὸς τὴν καθ᾿ ἡμᾶς γνῶσιν ἀναφορὰν ἔχεσαν.

§ 448. Διὰ τῶν ἰδεῶν τὴν τῶν πραγμάτων πορίζόμεθα γνῶσιν. Ἰδέαν δὲ ἀληθῆ θετέον, τὴν ἐκεῖνο παριςῶσαν πρὸς ὅπερ ἀνάγεται. Καὶ ταύτῃ δὴ ψευδεῖς ἔσονται αἱ ἰδέαι πᾶσαι, αἱ παραςατικαὶ εἶναι νομιζόμεναι τῶν πραγμάτων οἷς ἐδαμῶς συνᾴδεσιν.

§ 449. Περὶ τῆς τοιαύτης ἡμῖν τῶν ἰδεῶν ἀληθείας πραγματευτέον, ἐκ γὰρ τἒ τῆσδε διορισμἒ, πᾶσα ἡ τῶν ὄντων βεβαίατε ᾗ ἀσφαλὴς γνῶσις ἐξήρτηται.

§ 450. Παραπλήσιόν τι ῥητέον ᾗ περὶ τῶν κρίσεων. Κρίσις γὰρ ἀληθὴς, τὸ τὴν ἀναφορὰν ἐμφαῖνον, τὴν μεταξὺ τῶν ἰδεῶν χωρἒσαν ἃς ἀνασκεπτόμεθα. Ἄλλην γὰρ ὑπολαμβανόντων ἐγχωρεῖν τινα χέσιν, παρὰ τὴν ἒσαν, ψευδὴς ἔςαι ἡ κρίσις.

§ 451. Πρὸς διορισμὸν, τῶν τῇ ἀληθείᾳ ἔτω θεωρεμένῃ προσανηκόντων, διατακτέον τὰς ἰδέας διχῶς.

§ 452. Καὶ ἐπὶ μὲν τῆς πρώτης τάξεως τὰς ἰδέας ἀνακτέον ἃς ἀμέσως ἀποφερόμεθα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἷαι αἱ τῶν ἐν τῇ ψυχῇ γινομένων ἀντιληπτικαὶ, ἐνεργειῶν τε καὶ διαθέσεων.

§ 453. Ἐπὶ τὴν αὐτὴν δὲ τάξιν ἀνακτέον καὶ πάσας τὰς κρίσεις· καὶ γὰρ ἐδὲν ἤ τῶν χέσεων ἰδέαι εἰσὶν, ὧν ἀμέσως ἀντιλαμβανόμεθα, τὰς παρατιθεμένας ἰδέας παρέσας ἔχοντες.

§ 454. Διακριτέον δὲ ἐπὶ τῶν Κρίσεων, τὴν τῶν ἰδεῶν ἀλήθειαν περὶ ἃς ἡ κρίσις, τῆς ἀληθείας αὐτῆς τῆς κρίσεως. Περὶ ταύτης γὰρ τῆς ἐχάτης ἤδη ὁ λόγος.

§ 455. Ἐπὶ δὲ τὴν δευτέραν τάξιν, τὰς λοιπὰς ἁπάσας ἰδέας ἀναθετέον, ὅσας δηλονότι, μεσιτευέσης ὁποιασἒν ἐξωτερικῆς αἰτίας, καρπέμεθα.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

## Περὶ Ἐναργείας.

§ 456. Ἐνάργειαν καλἒμεν τὴν ἄμεσον πρόσληψιν.

§ 457. Ἡ δὲ ἐνάργεια αὕτη τὸ Κριτήριον ὑπάρχει τἒ ἀληθἒς, ἐν πάσαις ταῖς ἰδέαις ὧν ἀμέσως ἀντιλαμβανόμεθα· τἒτέςιν αὕτη λόγος ἐςὶ βασιμώτατος, ὅθεν εἰσβάλλομεν, σύμφωνον εἶναι τὴν ἰδέαν, τἒ ἔπερ ἀμέσως ἔχομεν τὴν ἀντίληψιν· ἡ δὲ περὶ τῆς συμφω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νίας ταύτης πειθὼ πληροφορίαν ἡμῖν προσεμποιεῖ τελεωτάτην.

§ 458. Αὐτὸ γὰρ τὸ ἀντιληπτὸν τῇ ἑαυτοῦ ἀμέσῳ ἀντιλήψει συνεφαρμόζεται. Νοοῦντος μου, εἰς ταυτὸν ἥκει τῇ ψυχῇ ἡ γινομένη νόησις τῇ ταύτης αὐτῆς ἀντιλήψει· καὶ ἡ κατὰ τὴν ψυχὴν ἐμοὶ συμβαίνουσα χαρὰ, ἥτε ταύτης ἀντίληψις, ἕν εἰσὶ καὶ ταυτόν. Ταύτῃ τοι, ἀληθῆ ἐμοὶ ἡ ἀντίληψις αὕτη, τὴν ἥπερ ἡ ψυχὴ χαρᾶς; κατ' αὐτὸ τυγχάνει ἀπολαύουσα, ἰδέαν παρέχεται.

§ 459. Ταυτὸ παρατηρητέον καὶ ἐπὶ πάντων, ὧν ἀμέσως ἀντιλαμβανόμεθα. Τὰ γὰρ τοιαῦτα εἰμὴ αὐταῖς ταῖς ἰδέαις συμβαίνοντα ἦν, οὐκ ἂν ἀμέσως προσελαμβάνετο. Ἡ γὰρ ψυχὴ μόνας τὰς ἰδέας πέφυκε προσλαμβάνειν.

§ 460. Ἐκ τούτων ἐπιφέρομεν, καὶ πᾶσαν κρίσιν ἀληθῆ τυγχάνειν· τὴν γὰρ σχέσιν ἀνατυπούμεθα ἀμέσως τὴν μεταξὺ τῶν ἰδεῶν, ἃς παρούσας ἔχοντες διατελοῦμεν (455). Διὸ καὶ ἡ πρόσληψις αὕτη, τὴν ἀληθῆ ἡμῖν τῶν ἰδεῶν ἃς παραβάλλομεν, σχέσιν παρίστησιν, ἥτις δὴ τῇ ψυχῇ ἐντυπουμένη, ἀπ' αὐτῶν τῶν ἰδεῶν ἥκιστα διακρίνεται.

§ 461. Καὶ φανερὸν ἤδη τίδήποτε ἡ ἐνάργεια, ἰσχυρῶς οὕτω τὴν ἡμῶν συγκατάθεσιν ἐπισπᾶσθαι πέφυκεν, ὡς ταύτῃ ἡμᾶς ἀντέχειν ὅλως μὴ δύνασθαι.

§ 462. Τῆς ἐναργείας παρούσης, οὕτω σαφὴς καὶ λαμπρὸς ὁ ταύτης ἔλεγχος πρόκειται,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ἀδύνατον ταύτηγε ὑπόνοιάν τινα ἐγχωρῆσαι ὅλως. Ὁ τοίνυν προσλαμβάνων, αὐτὸς ἑαυτῷ συνειδὼς τυγχάνει τὴν τοιάνδε πρόσληψιν, ἐν ᾧ πάρεστι τῇ ψυχῇ. Τὶς οὖν ἂν ἐνδοιάσειεν μὴ κομιδῇ προσειληφέναι, ὅπερ ἤδη προσείληφεν;

§ 463. Καὶ σαφῆ μὲν οὕτως ᾗ λέγεται τάδε πάντα ἐστὶ καὶ δῆλα, ὡς ἐκ τούτων ῥᾷστα καὶ τὰς ἐπιλύσεις λαμβάνεσθαι τῶν ἀπορημάτων, ὧν οἱ σκεπτικοὶ κατὰ τῆς ἀρχῆς προβάλλονται τῆς ἀποφαινομένης, **τὴν ἐνάργειαν εἶναι τὸ τῆς ἀληθείας Κριτήριον.** Τοιαῦτα δ' ἔμπης τὰ ἀπορήματα ταῦτα, ἅττα καὶ μνημονεύειν ἀσυντελές.

§ 464. Τῆς ἐναργείας παρούσης οὐδέποτε ἐξαπατώμεθα. Πᾶσα δὲ, ἡ κατὰ τὰς ἰδέας τοῦ πρώτου εἴδους (452), καὶ περὶ τὰς κρίσεις ἐμφιλοχωροῦσα ἀπάτη, οὐδαμόθεν ἄλλοθεν, ἢ παρ' ἔλλειψιν τῆς ἐναργείας, ἐκπηγάζειν δυνήσεται. Ἄπεστι δὲ τὸ τῆς ἐναργείας, ἐπειδὰν ὡς ἀληθῆ ὄντα ἀποφαινόμεθα, ὧν ἡ ψυχὴ οὐ δι' ἀμέσου προσλήψεως, μετέχει τῆς γνώσεως.

§ 465. Κἀντεῦθεν εἰσβάλλομεν, ὅτι διὰ τῆς κατὰ τὴν ἐνάργειαν προσοχῆς, ἐκκλίνειν οἷοντε τὸ τῆς ἀπάτης, κατὰ πάσας τὰς ἐπιστήμας, ὅσαι περὶ τὰς ἰδέας, καθ' ἑαυτὰς θεωρουμένας, ἀναστρεφόμεναι εἰσὶν, ἄνευ τῆς πρὸς αὐτὰ τὰ πράγματα σχέσεως, οἷαι εἰσὶν αἱ ἐπιστῆμαι αἱ Μαθηματικαί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 466. Οὐδέποτ' ἐν αὐταῖς ταῖς ἰδέαις ἀφορᾷ ἡ ἀπάτη. Ἐκ γὰρ τῶν ἰδεῶν τεθεισῶν τὸ συμπέρασμα ἐπιφέρεται περὶ μόνον ἑπομένως ἀπάτῃ ἄντις ὑφέρψαιτο. Ἀλλ' ἐνταῦθα περὶ τῆς κρίσεως ὁ λόγος, ἧς τὸ στεῤῥόντε καὶ ἀραρὸς, ἐκ μόνης τῆς ἐναργείας ζητητέον (460).

§ 467. Ἐπὶ πασῶν τῶν τοιῶνδε ἐπιστημῶν, τίθεσθαι φαμὲν τὰς ἰδέας. Διὸ δὴ τὰ συμπεράσματα ὑποθετικῶς μόνον ἐπὶ τὰ πράγματα ἀναφέρεται, εἴπερ ἀμέλει ταῖς ἰδέαις ταῦτα συνάδει. Τοῦτο γεμὴν ἄλλοθεν ἐστὶ διοριστέον, οὐ γὰρ αὐτῇ τῇ ἐπιστήμῃ ἀνῆκον ἐστί.

§ 468. Ἐκ τῶν εἰρημένων ἔτι ἕπεται, καὶ πᾶσαν ἐξεῖναι τὴν ἀπάτην ἐκκλίνειν, μὴ τῆς ἐναργείας ὀλιγωρουμένης, ἐπὶ πασῶν τῶν ἐπιστημῶν, ὅσαι περὶ τὰς ἰδέας ἐνασχολοῦνται, ἃς ἡ ψυχὴ, ταῖς ἰδίαις αὐτῆς ἐνεργείαις προσέχουσα καὶ διαθέσεσι, προσδιορίζεται.

§ 469. Τοιαῦτα τὰ περὶ τοῦ ὄντος κατὰ γένος, καὶ περὶ τῆς ἐν ἡμῖν ψυχῆς, καὶ περὶ τῶν ἀΰλων φύσεων, καὶ περὶ τοῦ Θεοῦ, ἑρμηνευθῆναι δυνάμενα· ἐν τούτοις γὰρ περὶ τῶν ἰδεῶν ὁ λόγος, ὧν ἀνωτέρω ἐμνήσθημεν, ἢ περὶ τοιούτων τινῶν, οἷαι ἂν ἐξ ἐκείνων διὰ κρίσεως τύχωσιν ἐπιφερόμεναι.

§ 470. Τελευταῖον δὲ ἐπὶ τῶν λοιπῶν ἁπασῶν ἐπιστημῶν, τῶν μὴ περὶ τὰς ἀμέσως ἡμῖν προσλαμβάνεσθαι πεφυκείας ἐνασχολουμένων ἰδέας, ἁπάσης κρίσεως ἡ ἀλήθεια, ἐξ αὐτῆς τῆς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐναργείας ζητητέα ἂν εἴη· Αὗταί τε αἱ ἐπιστῆμαι ἀσφαλῶς τε ἕξεσι καὶ βεβαίως, ἐὰν ἄλλοθεν δῆλον ᾖ, συνάδειν τὰς ἰδέας, τοῖς πρὸς ἅπερ ἀναφέρονται πράγμασιν.

§ 471. Ἐπὶ τούτων ἁπάντων, ὡς ἤδη παρατετήρηται (464) τὸ τῆς ἀπάτης ὑφέρπει, τῆς ἐναργείας ἀμελουμένης· ἀμεληθείη δ' ἄν, ἤτοι περὶ τὰς ἰδέας, ἢ γοῦν περὶ αὐτὰς τὰς κρίσεις.

§ 472. Καὶ περὶ τὴν ἰδέαν μὲν ἡ ἐξαπάτη, ἡνίκα παρὰ τὸ ἀμέσως προσλαμβανόμενον ἐν τῷ πράγματι, ἀναπληροῦταί τι ἐπέκεινα, ὡς ἐν αὐτῷ δῆθεν ἐκείνῳ προσαπαιτούμενον.

§ 473. Ἄλγους αἰσθάνομαι, καὶ διὰ τὸ τῆς προσλήψεως ἄμεσον, ἀληθὴς (458) ἡ ἰδέα. Ἀλλ' ἐπανασκέπτομαι δὴ προσωτέρω, καὶ τὸ ἄλγος, ἐνυπάρχειν ἐν τῷ δακτύλῳ, τὸ δὲ ψευδές· οὐδὲν γὰρ ἀλλ' ἢ αἴσθημα τὸ ἄλγος ἐστί· τὸ δ' αἴσθημα ἐν τῇ ψυχῇ, ὡς τῆς κατ' αὐτὴν προσλήψεως ὂν ἀδιάκριτον. Ἃ γοῦν περὶ τοῦ δακτύλου ἀναπέπεισμαι, οὐκ ἀμέσως προσείληφα, αὐτὸς δὲ ταῦτα ἀπ' ἐμαυτοῦ ἀνεπλήρωσα. Οὐδὲ γὰρ αὐτὸν τὸν δάκτυλον, ἀμέσως πέφυκα προσλαμβάνειν.

§ 474. Ἐπὶ τῶν κρίσεων ἐνσκήπτει τὸ τῆς ἀπάτης, ἡνίκα πρὸς ἰδέας τινὰς τὴν σχέσιν ἀνάγομεν, ἣν ἐν τῇ ἐρευνῇ ἰδεῶν ἄλλων προσειλήφαμεν (450). Δεῖγμα τοῦ τοιούτου πάρεστι λαβεῖν ἐπὶ τῶν συλλογιστικῶν εἰδῶν ἐν αἷς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τὴν κατ' ἦθος ἀναφέρεται ἀνάγκην, τὰ περὶ τῆς κατὰ φύσιν ἀνάγκης ἀποδειχθέντα.

§ 475. Ἔτι δὲ παραπλησία τις τὰ πολλὰ κἀν ταῖς κρίσεσιν ἐξαπάτη παρασυμβαίνει, ἧς ἀνωτέρω περὶ τῶν ἰδεῶν ὑπεμνήσθημεν· ἐπαναπληρεῖται γάρ τι κἀν ταύταις τὸ ἐν τῇ μεταξὺ τῶν ἰδεῶν, ἃς διελογισάμεθα σχέσει, μηδαμῶς χώραν ἔχον.

§ 476. Πλεῖςα ἐκ τῶν περὶ τȢ Θεȣ̃ συνιςαμένων συλλογισμῶν, τȣ̃ λεγομένȣ ληφθείη ἂν παραδείγματα, ἐξ ὧν ἓν προχειρισόμεθα, δι' ȣ̃ καί τινα ἂν διασαφηθείη, ὧν ἐπὶ τȣ̃ ἀνωτέρω βιβλίȣ ἡψάμεθα (251).

Δημιȣργὸς τῶν ὄντων ἐςὶν ὁ Θεός· τόδε τὸ συμπέρασμα, ἐκ κρίσεων ἐπιφέρεται ἀληθευȣσῶν. Ἀλλ' αἱ κρίσεις ἐξ ὧν ἐκεῖνο, ȣ̓χ ἅμα κἀκεῖνο προσδιορίζȣσι, τῷ τρόπῳ ὁ Θεὸς τὰ ὄντα παρήγαγε. Διὸ κἀκείναις μόνον τὸν νȣ̃ν προσέχοντας, ȣ̓ περαιτέρω ἰέναι δέον· τὰ πολλὰ μέν τοι καὶ πορρωτέρω χωρεῖν φιλȣ̃σι. Προσδιορίζȣσι γάρ τι καὶ περὶ τȣ̃ τρόπȣ τῆς δημιȣργίας περιττὸν, καὶ ταῖς ἀληθέσι κρίσεσι, πλέον τὶ προςιθέασι, δι' ὃ καὶ ἀπὸ τȣ̃ ἀληθȣ̃ς συμβαίνει αὐτȣ̀ς παράγεσθαι, δημιȣργίαν φανταζομένȣς τινα, οἵαν ταῖς τȣ̃ Θεȣ̃ τελειότησι μηδόλως εἶναι προσήκȣσαν. Παρανοȣ̃σι γὰρ τὸν Θεὸν ἐκ μὴ δημιȣργȣ̃ δημιȣργὸν, καὶ ἐξ ἀργȣ̃ντος ἐνεργȣ̃ντα, ὃ μεταβολήν τινα παρεισάγον ἐςίν. Ἀλλ' ὁ Θεὸς ἀφ' ἑαυτȣ̃ ὢν, καὶ ἀεὶ ὡσαύτως ἐν ὁλοτελεῖ ἀτρεψίᾳ ἔχων ἐςὶν (99), ὡς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηδεμίαν αὐτῷ μεταβολὴν ἐγχωρεῖν, ὁποία ποτ᾽ ἂν ᾖ. Ἀλλ᾽ εἰ τὰς ἀξιοπρεπεῖς ἰδέας περὶ Θεοῦ, τοῦ Ὑπερτάτου τῶν ὄντων, ἰδέας ἔχειν ἐθέλοι, ῥᾷστα δήπου συνήσει, ὡς οἱ ἐν αὐτῷ τὴν ἐνέργειαν, καθ᾽ ἥν τι κατὰ τὸ ἐνεστὸς παράγεται, τῆς ἀϊδίου καὶ ἁπλῆς καὶ ἀτρέπτου θελήσεως αὐτοῦ, περὶ ἧς ἀνωτέρω διήλθομεν (45); ἀντιδιαστέλλοντες, σχέσιν τινὰ πλάττουσιν, οἵαν ἐν ταῖς περὶ τοῦ Θεοῦ ἰδέαις οὐδαμῶς προσλαμβάνουσιν, ὡς τοιαύτην γε οὖσαν, οἵαν ἐν ταύταις εἶναι ἀδύνατον.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

## Περὶ Ἀληθείας τῶν ἰδεῶν ἃς οὐκ ἀμέσως ποριζόμεθα. ἔνθα καὶ περὶ Ἐναργείας Ἠθικῆς.

§ 477. Ἐκ τῶν ἐπὶ τοῦ ἀνωτέρω Κεφαλαίου ἐκτεθειμένων, φανερὸν, ὅτι ταῖς τῶν ἔξω τῆς ψυχῆς πραγμάτων ἀντιληπτικαῖς οὔσαις ἰδέαις, τὸ ἐναργὲς οὐδαμῶς προσήκει, εἰ μή τις τὸν Θεὸν αὐτὸν ἐξαιροίη, καί τινα γενικῶς ταῖς αὔλοις προσανήκοντα φύσεσιν, ὧν τὴν γνῶσιν ἡ ψυχὴ, ἑαυτῇ προσέχουσα ἀρύεσθαι πέφυκεν.

§ 478. Τ᾽ ἄλλα πάντα, ἅτε δὴ τῆς ψυχῆς ἐκτὸς ὑπάρχοντα, οὐκ ἀμέσως ἐστὶ προσληπτὰ αὐτῇ, οὐδὲ γὰρ ἑαυτῇ τὸν λογισμὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιςρεφθέση τὴν γνῶσιν ὑπέρχεται· καὶ ἀμήχανον ἄρα, ἐξωτερικȣ̃ τινὸς ἐπιβοηθήματος ἄνευ, τὰ τοιαῦτα ἐπιγνωσθῆναι.

§ 479. Ἕτερον τοίνυν ἀληθείας Κριτήριον, παρὰ τὸ ἐκ τῆς ἐνεργείας, ἐπὶ τȣ́των ἡμῖν ζητητέον. Ἵνα γεμήν, ὅπη παρείκοι, ὁμονύμως ἥπερ οἴοντε, τὸ Κριτήριον τȣ̃ ἀληθȣ̃ς ἐκφέροιτο, Ἐνάργειαν Ἠθικὴν προσειπεῖν ἔγνωσαν, τὸν τῆς ἀληθείας τῶν ἰδεῶν, περὶ ὧν ἐνταῦθα ὁ λόγος, ἔλεγχον· διὸ καὶ πρὸς ἐκφυγὴν ῥίασȣ̃ν συγχύσεως, τῇ ἁπλῶς ἐναργείᾳ, περὶ ἧς ἐν τῷ πρὸ τȣ̃δε Κεφαλαίῳ, τὴν προσηγορίαν τῆς Μαθηματικῆς ἐναργείας ἀπέδωκαν.

§ 480. Τῶν ἐκτὸς τῆς ψυχῆς ὄντων, διὰ τριῶν δὴ τȣ́των ὡς μέσων, αἱ ἰδέαι τοῖς ἀνθρώποις διαπορθμεύονται. Αἰσθήσει δηλονότι καὶ Μαρτυρίᾳ καὶ Ἀναλογίᾳ· καὶ τρεῖς ȣ̔̃τοι τῆς Ἠθικῆς ἐναργείας ὑποκαταβέβληνται οἷον θεμέλιοι.

§ 481. Τȣ́των ȣ̓δὲν τῷ ὄντι καθ' ἀυτο, καὶ ἐξ οἰκείας Φύσεως τȣ̃ ἀληθȣ̃ς Κριτήριον ἐςὶ· καὶ κατὰ τȣ̃τον δὴ τὸν λογον, ἡ ἠθικὴ ἐνάργεια διαφέρει τῆς Μαθηματικῆς, συμφωνȣ̃σι δ᾽ ὅπως, τῷ λόγῳ τῆς πειθȣ̃ς, ἣν ἑκατέρα ἐμποιεῖ.

§ 482. Πρὸς τὸ δι᾽ αἰσθήσεως τὴν ἰδέαν ἐπιγενέσθαι, ȣ̓δὲν ἕτερον ἐπιζητεῖται, εἰ μὴ κίνησίς τις τῶν νεύρων τινὸς, ἐξ ἧς προσβολή τις



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπικοινωνεῖται τῷ μυελῷ τȣ̃ ἐγκεφάλȣ. Τεθείσης τῆς τοιᾶσδε προσβολῆς, πάρεσιν ἡ ἰδέα, κἄν τε τὸ διὰ ταύτης παριςάμενον, πράγματι παρεςὼς εἴη, κἄν τε ϗ μή. Διὸ ȣ̓κ ἀναγκαίως διὰ τῶν αἰσθήσεων, τὰς ἀληθεῖς τῶν πραγμάτων ἰδέας καρπȣ́μεθα.

§ 483. Περὶ δὲ τȣ̃ ἐπὶ μαρτυρίας ἀνθρωπίνης ςηριζομένȣ, ἀληθὲς εἶναι τȣ̃το ἐξ ἀνάγκης δεῖν εἶναι, τὶς ἂν διατείναιτο;

§ 484. Ἐν δὲ τοῖς τῇ ἀναλογίᾳ ἐποικοδομȣμένοις συλλογισμοῖς, ἀπὸ τῶν παρατηρȣμένων τὰ μὴ παρατηρȣ́μενα, συμπεραίνειν εἰώθαμεν. Πάντες ὅσωνȣ̃ν ἀπόπειραν ἔχον, οἱ λίθοι βαρεῖς εἰσί· τȣτέςιν ἄφετοι εἰς γῆν αὐτόματοι καταφέρονται. Ταυτὸ ȣ̃ν ϗ περὶ τῶν ἄλλων εἰσβάλλω, ὧν πεῖραν ȣ̓δέποτε εἴληφα. Καίτοι, εἴτις καθ' αὐτὸ τὸ πρᾶγμα σκέψαιτο, ȣ̓κ ἐξ ἀνάγκης συνάφειαν τινα πρὸς ἀλλήλας τυγχάνȣσιν ἔχȣσαι, αἱ τῶν διαφερόντων λίθων βαρύτητες.

§ 485. Περὶ ταυτὶ τὰ τρία τȣ̃ ἀληθȣ̃ς κριτήρια παρατηρητέον, ὡς ἐπειδὴ ταῦτα ȣ̓κ ἀφ' ἑαυτῶν, ἄλλοθεν δὲ ἐςὶ τοιαῦτα, διὰ τȣ̃το ȣ̓δ' ἀεὶ εὐκόλως τὸ πιςὸν ἔχειν ϗ βέβαιον, ἐπὶ παντὸς, ὃ ἂν τύχοι προκείμενον χώραν ἔχοντα. Διὸ ϗ παραφυλακτέον ἐπιμελῶς παντοίοις περὶ αὐτὰ τρόποις, μὴ λάθοιμεν τὸ ἠθικὸν τῆς ἐναργείας, ϗ ἐν οἷς ȣ̓ πάρεςι, παρειςάγοντες. Καὶ ταύτῃ δὴ τῆς μαθηματικῆς πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν κατ᾽ ἦθος ἐνάργειαν τὸ διάφορον, τῆς καθ᾽ αὐτην, ἀείποτε ἐπιδήλȣ γινομένης (462).

§ 486. Πολλήν τε καὶ ἄφθονον ὁ ἀγαθὸς Θεὸς τοῖς ἀνθρώποις τῶν πραγμάτων παρέχετο τὴν δαψίλειαν, καὶ βȣλεταί γε τȣτοις αὐτȣς προχρῆσθαι, ἐθ᾽ ἂν ἐπὶ προσώπȣ τῆς γῆς διατρίβωσιν. Ἀλλ᾽ εἰ μὴ παρείησαν αὐτοῖς αἱ αἰσθήσεις, ȣδ᾽ ἂν εἶχον γνῶσιν ὅλως τῶν τοσȣτων οἱ ἄνθρωποι πραγμάτων, καὶ τῆς ἀπ᾽ αὐτῶν ἡκȣσης ὠφελείας, κομιδῇ ἂν ἀποστεροῖντο. Ἔνθεντοι, δῆλον ὅτι ταῖς αἰσθήσεσι τȣς ἀνθρώπȣς, ὁ τȣ παντὸς Πρύτανις κατεπλȣτισεν, ἵνα ταύταις εἰς δοκιμασίαν τῆς διακρίσεως προσχρώμενοι τῶν πραγμάτων, αὐταῖς καὶ πιστεύωσιν.

§ 487. Ἀντιπεριπίπτοι γὰρ ἂν ἐπιεικῶς ἑαυτῇ ἡ ὑπερτάτη Σοφία, εἰ τάτε πράγματα, καὶ τὰ πρὸς τὴν τȣτων φέροντα χορηγήσασα γνῶσιντε καὶ κατάληψιν τοῖς ἀνθρώποις, αὐτȣς ἔπειτα ἐπιτρέποι ἐν αὐτοῖς καὶ περὶ αὐτὰ ἀθλίως ἐξαπατᾶσθαι, καὶ παρακρȣεσθαι.

§ 488. Εἰσὶν ἄρα αἱ αἰσθήσεις Κριτήρια τȣ ἀληθȣς, ἐπεὶ τȣτο ȣτως ηὐδόκησεν ὁ Θεός. κἀντεῦθεν ἡμῖν τὰ τῆς πληροφορίας ἀκέραια, δι᾽ ἧς ὁμολογεῖν ταῖς διὰ τῶν αἰσθήσεων ἐπιȣσαις ἰδέαις, αὐτὰ τὰ παριστάμενα πράγματα ἀδιστάκτως πειθόμεθα.

§ 489. Τίνα δὲ τρόπον ἡμᾶς αἱ αἰσθήσεις, ἐπ᾽ αὐτὴν ἄγȣσι τῶν πραγμάτων τὴν γνῶσιν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκέτι καθ' αὑτὸ συμφανὲς ἡμῖν ἐςὶ ϗ κατάδηλον. Ὑπὸ μακροχρονίȣ χρήσεώς τε ϗ πείρας τȣ̃θ' ἡμᾶς διαμανθάνειν ἐν τῷ ἐφεξῆς Κεφαλαίῳ εἰσόμεθα, ἔνθα κἀκεῖνο διερμηνεύσομεν, ὅπως ἐπὶ παντὸς τȣ̃ προκειμένȣ ἐπ' ἀκριβὲς διοριςέον, τίποτε ἐξ ἑκάςȣ τῶν αἰσθημάτων ἐςὶ τὸ συμβαῖνον, ὥςε μηδεμίαν ἐδόλως ἀμφίγνοιαν ὑπολείπεσθαι.

§ 490. Ἄνευ τῶν αἰσθήσεων, ὡς εἴρηται (486), ἐδεμία τῶν ὄντων δίδοται γνῶσις. Αὗται γεμὴν μόναι ἐκ ἂν ἀποχρῶσαι εἰς τȣ̃το γένοιντο. Οὐδεὶς ἀνθρώπων, ἅπαντα τὰ πρὸς τὸ ζῆν αὐτῷ ἀναγκαῖα, διὰ τῶν ἰδίων αἰσθήσεων θηράσοιτο ἄν. Ὑπὲρ ἀριθμὸν ἐςὶν, ἐφ' οἷς της παρὰ τῶν ἄλλων χρήζει διδασκαλίας, ϗ εἰ μὴ τῇ τῶν ἀνθρώπων μαρτυρίᾳ ἐδὲ τὴν τυχȣ̃σαν παρέχοιτο πίςιν, πλειόνων ἀνάγκη ςέρεσθαι τῶν ὑπὸ Θεȣ̃ κεχορηγημένων, μηδὲν ὄφελος ἐκ τȣ́των ἀρνύμενος, ϗ ἄθλιόν τινα ϗ βραχυτελῆ βίον ἐπὶ τῆς γῆς διαζῆν.

§ 491. Ἐξ ὧν ἐπιφέρομεν, ὅτι καὶ τόδε τῆς Θεȣ̃ βȣλήσεως ἦν, τὴν παρὰ τῶν ἄλλων ἡμῖν μαρτυρίαν, ἀληθείας εἶναι κριτήριον, τȣ̃ καὶ τοῖς ἀνθρώποις τὴν δύναμιν παρασχόντος τȣ̃ διορίζειν, τίνα τὰ ἐν τῷ μαρτυρȣ̃ντι ὑπάρχει ἐναπαιτȣ́μενα, ὡς ἂν ἄξιος εἴη πίςεως.

§ 492. Τελευταῖον εἴρηται, ὅτι ϗ αἱ κρίσεις αἱ τῇ ἀναλογίᾳ ἐπερειδόμεναι, ἐπὶ τὴν τῶν ὄντων γνῶσιν παραπλησίως ἡμᾶς ποδηγȣ̃-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σι· τὸ δὲ στεῤῥὸν τῶν συμπερασμάτων κἀνταῦθα, ἐκ τῆς αὐτῆς ἀρχῆς, τῆς τοῦ Θεοῦ δηλονότι βουλήσεως ἀρυόμεθα. Ἀυτὸς γὰρ οὕτω κατέστησε τὸν ἄνθρωπον, καὶ ἐν τοιαύταις ἔθετο περιστάσεσιν, ὥστε ἀθλίως τε καὶ βραχυτελῶς τὸν ἐπὶ γῆς ἕλκειν βίον, εἰ μὴ ὡς ἀληθεῖς ἐκδέχοιτο τὰς ἰδέας, ἃς πορίζεται, ἐν ᾧ τοῖς μήπω δεδοκιμασμένοις αὐτῷ, τὰς διαθέσεις ἀπονέμει καὶ τὰ πάθη, ἅττα ἐπὶ τῆς τῶν παραπλησίων ἐρεύνης διὰ πείρας ἀνεκάλυψε φθάσας.

§ 493. Τίς τὸ δηλητήριον ἀπὸ τοῦ εἰς τροφὴν λυσιτελοῦς καὶ χρησίμου, διαστέλλαι ἂν ἔχοι, ἄνευ τῆς ἀναλογίας; τίς τὸν ἐν ᾧ ἐστὶ τόπον τολμήσειε καταλιπεῖν; ὑπὲρ ἀριθμὸν εἰσὶν οἱ κίνδυνοι, οὓς ἐκκλίνειν ἄλλως τοῖς ἀνθρώποις εἴη ἀδύνατον.

§ 494. Ἐπιφέρομεν τοίνυν ἐκ τῶνδε ἁπάντων, ὡς ἡ αἴσθησις, καὶ ἡ παρὰ τῶν ἄλλων μαρτυρία, καὶ τὸ τῆς ἀναλογίας ἰσχυρὰ ὑπόκειται Ἠθικῆς ἐναργείας θεμέλια. Ἀλλὰ γὰρ ἐν μέρει τούτων ἕκαστον ἀντιθεωρητέον, εἰς ἀποφυγὴν ἰασοῦν ἀπάτης, ἥ τις ἂν ἐκ τούτων αὐτῶν ἐμποιεῖσθαι δύναιτο.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΔΙ'.

## Περὶ τῶν αἰσθήσεων, τοῦ πρώτου δηλαδὴ τῆς Ἠθικῆς Ἐναργείας θεμελίου.

§ 495. Τῷ τρόπῳ αἱ αἰσθήσεις, ἐπὶ τὴν τῶν ὄντων ἡμᾶς γνῶσιν χειραγωγοῦσιν, οὐκ εὐπετὲς εἰς διασάφησιν εἶναι εἴρηται (489). Δῆλον δὲ τοῦτ' ἂν εἴη, αὐτῶν ἑκάστην ἐν μέρει φιλοκρινήσασι· σαφὲς γὰρ ἔσται σκοπήσασιν ἀκριβῶς, ὡς οὐκ ἄνευ πείρας πολυχρονίου, καὶ διὰ τῆς τῶν ἐκ διαφόρων αἰσθήσεων ἐμποιουμένων ἡμῖν ἰδεῶν παραθέσεως, τὴν τοῦ περὶ τῶν σωμάτων διορίζειν τι πορίζόμεθα ἕξιν, ἐπειδὰν ἡμᾶν ἐπιδρᾷ τοῖς αἰσθητηρίοις. Ἡ δ' αὐτὴ αὕτη ἑκάστης οὖν τῶν αἰσθήσεων διάσκεψίς τε καὶ βάσανος, περὶ τὴν αὐτῶν χρῆσιν περιεσκεμμένους ἡμᾶς καὶ προσεκτικοὺς ἀπεργάσεται.

§ 496. Ὁράσει τε καὶ ἁφῇ, τάς τε τῶν σχημάτων ἰδέας, καὶ τὰς τῆς θέσεως τῶν σωμάτων πορίζόμεθα. Διὰ δὲ τῶν λοιπῶν αἰσθήσεων, ἕτερ' ἄττα ἴδια ἀνακαλύπτομεν ἐν τοῖς σώμασιν, ἃ ὁράσει μὲν καὶ ἁφῇ οὐκ ἔστι ληπτὰ, πολλὰς δὲ χρήσεις ἐκείνων καὶ ὠφελείας ἡμῖν περιγινομένας παραδηλοῖ. Πολλάκις οὖν δι' ἀκοῆς καὶ γεύσεως καὶ ὀσφρήσεως, διαφέρειν ἀλλήλων συνορῶμεν, ἅττα δι' ἁφῆς καὶ ὁράσεως ῥᾶστ' ἂν συγχέοιτο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 497. Ἀφῇ τῶν σωμάτων ἀντιλαμβανόμεθα, μέλ. τινὶ τῶν ἐπὶ τοῦ ἡμετέρου σώματος αὐτῶν ἐπιθίγοντες, καὶ καθάπερ βάσανον τῇ προσεφαρμόσει ποιούμενοι· τῇ γὰρ ἐπαφῇ κινεῖται τινὰ τῶν νεύρων. τῶν ἁπανταχοῦ ἄχρι τῆς ἐπιφανείας τοῦ δέρματος ἡμῖν προτεινομένων.

§ 498. Ἡ δ' αἴσθησις αὕτη ἐν ἄκροις δακτύλων, ἔνθα πολλὰ τῶν νεύρων κλωνάρια ἀποπερατοῦται, ἐστὶν ὀξυτέρα.

§ 499. Ἡ γοῦν ἀφὴ, ἐν σώματι ἐνεκτοῦντι, τὴν ἐφάρμοσιν γνωρίζει τοῦ ἐκτὸς σώματος, καὶ πλέον οὐδέν. Ἐπιχορηγεῖ δὲ ἡμῖν, καὶ τὴν ἰδέαν τῆς τῶν σωμάτων ἐνστάσεως. Διὰ δὲ πείρας ἐκ νέων, ἐπιχειροῦντες τοῖς σώμασιν οἷς καθορῶμεν, καὶ ἐπιψαύοντες συνεχῶς, δύναμίν τινα τοῦ κρίνειν προσκτώμεθα διὰ μόνης ἀφῆς, καὶ περὶ τῆς ἀνωμαλίας καὶ ἀνισότητος, τῆς κατὰ τὴν ἐπιφάνειαν τῶν σωμάτων, καὶ μὴν καὶ περὶ τῆς κατ' αὐτὴν τοῦ στερεοῦ ἀποπερατώσεως, ὅθεν ἡμῖν ἡ τοῦ σχήματος ἰδέα ἐγγίνεται, καίτοι τὰ πολλὰ ἀτελεστέρα οὕτω τελοῦσα.

§ 500. Διὰ τῆς αὐτῆς δὲ ταύτης αἰσθήσεως, καὶ πάσας περιζόμεθα τὰς ἰδέας, τὰς ἐκ τῆς διαφερούσης αἰτοχῆς καὶ ἐνστάσεως ἐπιφερομένας, οἷον τῆς σκληρότητος καὶ ἀντιτυπίας, τῆς ἁπαλότητος, τῆς ὑγρότητος καὶ τὰ ἑξ:

§ 501. Διὰ πείρας δὲ ἔτι προαπορίζόμεθα δύναμιν καὶ ἕτερ' ἄττα περὶ τῶν σωμάτων ἀφῇ διορίζειν. Σπανίως ἀλλ' οὖν διὰ τῆσδε μόνης τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰσθήσεως, τὰ σώματα διαβασανίζοντες, ἐ πάνυ τι ἐν τῇ τοιᾷδε βασάνῳ προσεθιζόμεθα· ἐνθεντοι, καὶ μὴ ὑπόντων σαμάτων γνωριμωτάτων, καὶ πυκνὰ διαψηλαφισθέντων, τῇ ἀφῇ μόνῃ πιςεύειν ἐ χρὴ, εἰ μήπε τυχὸν διὰ μακρᾶ τις εἴη τυφλώττων.

§ 502. Τῇ ὁράσει τῆς ἀφῆς συνεπιζευγνυμένης, μόλις ἄν τις παρεισφρήσειε ταῖς ἰδέαις ἀπάτη, ἃς δι' ἀφῆς πορίζομεθα, μόνον εἰ τῇ δεέσῃ προσοχῇ χρησαίμεθα.

§ 503. Τῇ Ὄψει, πλέον ἢ διὰ τῶν ἄλλων αἰσθήσεων, ὡς πλεῖςα τῶν σωμάτων διαγνωρίζομεν Ἀλλὰ καὶ πρὸς αὐτὸ τἕτο πολλῆς δεόμεθα τῆς πείρας, καθ' ἣν, συμφέρει καὶ διαψηλαφᾶν πολλάκις τὰ τῇ ὁράσει καθυποβαλλόμενα.

§ 504. Ἡ τἕ ὁρατἕ ὄψις, τἕ ὀφθαλμἕ ἐῤῥωμένος ἔχοντος, τὴν ἐν τῷ πυθμένι ἐξελέγχει εἰκόνα, ἣν κατὰ πάντα τα σημεῖα αἱ ἀκτῖνες διαζωγραφἕσιν, αἱ ἐν διαςάσει μὲν προσπίπτεσαι τῷ ὀφθαλμῷ, ἀνακλάσει δὲ τῇ κατ' αὐτὸν, εἰς σημεῖα κατὰ τὴν διαγραφομένην εἰκόνα συμπίπτεσαι.

§ 505. Ἤρτηται δὲ τὸ αἴσθημα ἐκ τῆς τἕ ὀπτικἕ νεύρε κινήσεως, ἕ ἶνες οἱ λεπτότατοι, τἕ βάθες ἄχρι τἕ ὀφθαλμἕ διαδιδόμενοι, κἀνταῦτα προσεφαρμοζόμενοι, ὑπὸ τῶν κατὰ σημεῖον συνιεσῶν ἀκτίνων διατίθενται, ἐν ᾧ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἡ ψυχὴ ἅμα τῷ κινουμένῳ σημείῳ πορίζεται τὴν ἀντίληψιν.

§ 506. Ἐκ παντὸς σημείου τῶν ἐπὶ τοῦ ὁρατοῦ, προΐασιν αἱ ἀκτῖνες διέχουσαι, τέως δὲ ἐπὶ τοῦ ὀφθαλμοῦ συνελθοῦσαι, τὸ εἰρημένον σημεῖον γράφουσι, καὶ τοῦτο ἡ ψυχὴ καθορᾷ. Τοῦ δὲ δὴ σημείου ἐπὶ τῆς αὐτῆς εὐθείας, τῆς εἰς ἐπὶ τὸν ὀφθαλμὸν διατεινούσης, κειμένου, ἡ εἰκὼν ἡ αὐτὴ ἔσαι, καὶ ἐν τῷ αὐτῷ τοῦ ὀφθαλμοῦ κείσεται, ὅπως ἂν ἔχον ᾖ τὸ σημεῖον ἀποσάσεως κατὰ τὸ μᾶλλον καὶ ἔλαττον· ὥςε ὅσον ἐξ αὐτῆς τῆς εἰκόνος, οὐδὲν ἂν ἔχοι ἡ ψυχὴ περὶ τῆς ἀποςάσεως τοῦ ὁρατοῦ διορίσασθαι.

§ 507. Ἀλλὰ γὰρ δίδοταί τις τοῦ ὀφθαλμοῦ, ἢ τῶν ὀφθαλμῶν (ἐὰν δι' ἀμφοῖν ὁρῶμεν) κατά γε τὴν θέσιν μεταβολὴ, ἐν ᾧ μεταβάλλει ἡ τοῦ ὁρατοῦ σημείου ἀπόςασις.

§ 508. Διὰ τοῦτο ἀφῇ τὰ ὁρατὰ ἀνακρίνοντες, καὶ κατὰ διαφερούσας τὰς ἀποςάσεις, καὶ ἐν διαφέρουσι τοῖς τρόποις ταῦτα παρατηροῦντες, ἐπειδὴ μηδεμίαν αὐτοῖς τροπὴν ἐν τούτῳ ἴσμεν ἐπισυμβαίνουσαν, ἐκ μακροῦ τέως τοῦ ἔθους, δύναμίν τινα προσκτώμεθα, τοῦ καὶ περὶ τῆς τῶν σωμάτων κρίνειν ἀποςάσεως.

§ 509. Πάντες δὲ ἄνθρωποι τοῦτὶ τεχνιτεύουσιν. Ἀνάγκη ἕκαςον ἐκ βρέφους ἐπειγουσα ἐςὶ, ταῖς τῶν ὁρωμένων σημείων διαφερούσαις προσέχειν ἀποςάσεσιν· ἐφ' οἷς δὴ ῥᾷςα πείθεται ἕκαςος, ὡς ἡ φύσις τῶν τοιούτων ὑπῆρξε καθηγεμὼν καὶ διδάσκαλος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅτι γεμὴν ἐξ ἔθȣς τε καὶ πείρας μόνον, ἡ τȣ̃ περὶ τὰ ὁρατὰ ȣ̎τω κρίνειν δύναμις, ἡμῖν περιγίνεται, ἐξ αὐτῆς ἐςὶν εἰσβάλλειν τῆς τȣ̃ πράγματος φύσεως. Ἀπαλλάξειε δ' ἂν ἡμᾶς ὑπονοίας ἁπάσης, τὸ περὶ τȣ̃ ἐκ γενετῆς τυφλȣ̃ νεανίȣ ἐξιςορȣ́μενον, τȣ̃ μεταξὺ τετραδεκαετίας, καὶ πεντεδεκαετίας, ἀναβλέψαντος, ὃ ἐν τοῖς πρακτικοῖς ἐμφέρεται, τȣ̃ παρ' Ἄγγλοις τῶν φιλοσοφȣ́ντων βασιλείȣ κόμματος, Ἀριθμ. 402. ἄρθ. 7.

§ 510 Τεθείσης ἤδη, τῆς τȣ̃ περὶ τῶν διαςημάτων κρίνειν δυνάμεως, ἐν ᾧ τὸ σημεῖον καθορῶ, εἴτε καὶ ὑγειᾶς ἔχοντος τȣ̃ αἰσθητηρίȣ, ȣ̓δὲν ἕτερον ἡ τοιάδε πρόσληψις δείκνυσι, παρὰ τὰς τȣ̃ φωτὸς ἀκτῖνας, αἱ διαχȣ̃σαι τὸν ὀφθαλμὸν εἰχωρȣ̃σιν, οἷον ἀπὸ σημείȣ προβαίνȣσαι, τȣ̃ ἐπ' εὐθείας διωρισμένης (506) πρὸς ἀπόςασιν διωρισμένην κειμένȣ.

§ 511. Ἀπόχρη δὲ τȣ̃το εἰς ὅρασιν τὴν τῶν σωμάτων· τοιȣ̃το γὰρ τὸ τῶν ὁρατῶν ἴδιον. Αἱ ἀκτῖνες εἴτε προϊȣ̃σαι, εἴτε καὶ ἐπανακλώμεναι ἀπὸ τȣ̃ σώματος, ἀφ' ἑκάςȣ τῶν σημείων τῆς ἐπιφανείας χωρȣ̃σι διέχȣσαι. Ταύτῃ τοι καὶ τῶν σημείων ἕκαςον, ὁρατὸν ἐςὶ (506) καὶ ἐπὶ τȣ̃ ὀφθαλμȣ̃ ζωγραφεῖται. Ἡνίκα δὲ καὶ περὶ τῶν διαφέρων ἀποςάσεων, κρίσις γίνεται τῶν σημείων ἑκάςȣ, τότε δὴ καὶ τὰ χήματα, καὶ αἱ ἀνωμαλίαι, ἐπὶ τῶν ἐπιφανειῶν καταλαμβάνεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 512. Ἐστὶ δὲ τὸ αὐτὸ αἴσθημα, εἴτε τῶν ἀκτίνων ἀπὸ τοῦ σημείου τῷ ὄντι προχεομένων, εἴτε, καὶ τὸν ὀφθαλμὸν εἰσιουσῶν ὡς εἴπερ ἐξ αὐτοῦ ἐκείνου προχέοιντο, κἂν ἐξ ἄλλου σημείου τύχωσιν ἀφιέμεναι, καὶ πρὶν ἐπὶ τὴν ὅρασιν ἥκειν διακαμπτόμεναι· ἡ γὰρ κατὰ τὸν ὀφθαλμὸν κίνησις, καὶ ἡ ἐν τοῖς ἰσὶν ἐνέργεια τοῦ αἰσθητηρίου, οὕτως, ἢ ἄλλως οὐδὲν διαφέρουσι.

§ 513. Διὰ τοῦτο καὶ τῶν ἀκτίνων, διὰ τῶν ὑέλων διιουσῶν, ἢ ἀπὸ λείων πάνυ σωμάτων, ἀνακαμπτουσῶν κατ' ἀνταύγειαν παρίσταθαι δύναται τὰ ὁρατά, καὶ ὅπερ ἥκιστα ἐστὶν, ὃ καὶ εἰς ἐξαπάτην παράγειν πέφυκε.

§ 514. Ἡ περὶ τῆς ἀποστάσεως τῶν σωμάτων κρίσις, καθ' ἣν τὰ τούτων σχήματα διακρίνομεν (511), σφαλερὰ ἐστὶ περὶ τὰ πορρωτέρω ὅσον ἀπέχοιτα, τότε γὰρ δὴ τὸ σχῆμα ἔκ τε τῶν σκιῶν δέον εἰσβάλλειν, καὶ τοῦ κατὰ τὸ μᾶλλον καὶ ἧττον μαρμαίροντος φάους, κατ' ἄλλο καὶ ἄλλο τῶν ἐπιφανειῶν. Ἐθισμῷ γὰρ καὶ περὶ τούτων ἐκ νηπίων, περὶ τῶν ὁρατῶν κρίνειν οὕτως ἐμάθομεν, ἐπειδὰν ὅμως αἱ ἀποστάσεις εἰσὶν ὑπερβάλλουσαι, καὶ ἡ τοιάδε κρίσις ἐστὶ σφαλερά.

§ 515. Ἐκ τούτων δῆλον, ὡς ἐν τοῖς πορρωτάτω, πρόχειρος ἡ ἐξαπάτη, τηνικαῦτα γὰρ καὶ τῶν ὁρατῶν τὰ ἀληθῆ τῶν ἐν εἰκόνι, δι' ἁπλῆς ὁράσεως, ἥκιστα ἂν διακριθείη· ὃ δὴ συμβαίνει καὶ τοῖς μονοφθάλμως ὁρῶσι, κἂν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ἐπὶ πάνυ πολὺ τυγχάνῃ τὰ ὁρατὰ ἀφεςῶτα.

§ 516. Καὶ ἔτι δὲ παρατηρητέον, ὅτι πᾶσα ὅρασις τῦ φωτὸς ἐξήρτηται, διὸ καὶ τύτυ ἀμαυροτέρυ τυγχάνοντος ὡς μὴ οἷον ἀπόχρῃ τὸ ὀπτικὸν διατιθέναι, ὑ πάνυ τῇ ὁράσει πιςεύειν δίκαιον

§ 517. Ἐκ τύτων ἁπάντων ὑποσυνάπτομεν, ὡς πολλὰ ἐςὶ τὰ ἐπιζητέμενα, ἵνα δὴ τὸ πιςὸν ἔχῃ ἡ ὅρασις· αἴρεται μέντοι πᾶσα ὑπόνοια, τῶν ἑξῆς συνδραμέντων.

Α. Ἵνα τὰ ὁρατὰ ἀκμαῖον ἅλις τὸ φῶς ἐκπέμπωσιν, ἢ ἀντανακλῶσιν (516).

Β. Ἵνα σύμμετρον ἔχῃ καὶ τὰ τῆς ἀποςάσεως (514).

Γ. Ἵνα ᾗ πολλαχόθεν παρατηρῆται (515).

§ 518. Ἐὰν δὲ ἐπὶ τύτοις, ᾗ τὸ ὁρατὸν ἐξῇ ἐπιχειρήσασθαι, καὶ διαψηλαφῆσαι, ὐδὲν δέος ὑπονοίας, περὶ ἃ ἡ ὅρασις προδεικνύει ὑπολειφθήσεται. Σημειύσθω μέντοι, ὡς ὐ περὶ ἐκείνων ὁ λόγος ἅπερ ἡ ψυχὴ ἀναπληρῦν εἴωθεν, καὶ ἐκ τῶν φαινομένων ἐπιφέρειν.

§ 519. Οὐκ ἀεὶ δὲ συντρέχειν πάντα ταῦτα ἐπάναγκες, εἰς ἀπαλλαγὴν οἱασῦν ὑπονοίας. Ἐὰν γὰρ τῶν γνωρίμων ᾖ τὰ προκείμενα, ῥᾷςα πᾶς τις, ἐξ ὧν ἄλλοθεν οἶδε, κρίνειν δυνήσεται, εἴ τις ἀπάτης ἀφορμὴ παρεισφρήσειεν· ὗ χάριν γενικά τινα παρατηρεῖν ἀποχρήσει, ἐφ' ὧν ἄδηλον, εἴτις ὑπονοίας ἐςὶ λόγος ὑφέρπων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 520. Α΄. Εἰ δὶ ὀπῆς τὰ ὁρατὰ διοπτεύεται μονοφθάλμως, ἐδὲν ἐκ τῶν φαινομένων βεβαίως ἐςὶν εἰσβάλλειν, εἰ μὴ δῆλον ἄλλοθεν, μήτε ἐν εἰκόσι, μήτε ἐν κατέπτροις παρίςασθαι, μήτε δὶ ὑέλων διαθρεῖσθαι τὰ καθορώμενα, τὸ γὰρ μήτινα παραγωγὴν εἰς ἐξαπάτην ἐκ τοιῶνδε τινῶν συμβαίνειν αἰτίων, ἐξ ἁπλῆς ἐχ οἷόν τε προσλήψεως διορίζεσθαι (513. 515).

§ 521. Β΄. Ἐν διαςήματι μικρῷ μείζονι, κατὰ τὴν διαφορὰν τῶν ὄψεων διαφέροντι, ἡ εἰκὼν, δύναται ἀντὶ τῷ πράγματος ἐκληφθῆναι, καὶ ὑπὸ τῷ δυσὶν ὀφθαλμοῖς ὁρῶντος (515), καὶ ἐδὲ ῥαδίως τὸ τῆς ἀπάτης ἀνακαλυφθήσεται, ἐὰν ὡς ἔγγιςα ὁ βλέπων τῷ σημείῳ τεθῇ, καθ' ὃ τὸν ὀφθαλμὸν ὁ τὴν εἰκόνα γράψας κεῖσθαι ὑπέθετο ἐπὶ τῇ τῆς εἰκόνος ἀνακρίσει. Ἐὰν δέ τις ἐξ ἄλλε θεᾶται τόπε τὸ μίμημα, ἐκ τῷ σχήματος εὐκόλως διακρινεῖ ὁ θεάμενος, πλαςὸν εἶναι, καὶ μὴ ἀληθὲς τὸ ὁρώμενον, ὅπερ καὶ κατὰ γένος τῷ ὀφθαλμῷ μεταφερομένε, διακρίνεσθαι δύναται.

§ 522. Γ΄. Εἴ τις δὶ ὀπῆς διοπτεύοι βραχυτέρας, καὶ ὑπὸ κατόπτρε δυνήσεται παραχθῆναι διὸ εἰ μὴ ἄλλοθεν αὐτῷ δῆλον τοιόνδε τι μηδαμῶς εἶναι, ἐρεύνης χρεία· καὶ συμβαίη ἂν πολλάκις ἐν τέτῳ τὸ μένειν δεῖν ἀδιόριςον.

§ 523. Δ΄. Ἐὰν σῶμα κινέμενον παρατηρῶμεν, περὶ τῆς γινομένης πορείας, ἐξ ἁπλῆς ὁράσεως, κρίνειν ἐκ ἔχομεν, τῷ ὁρωμένε πόῤῥω



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπέχοντος, ἡ γὰρ περὶ τῆς προσόδου ἢ ἀφόδου τοῦ ὁρατοῦ ἀπὸ τῆς ὄψεως κρίσις, ἀβέβαιος (514).

§ 524. Ε'. Καὶ ὁ ἀὴρ δὲ ὁ περιέχων, ῥαδίως πέφυκεν ἡμᾶς παρακρούεσθαι, τούτου γὰρ τὰ μόρια ἄτονόν τι τὸ φῶς ἀντανακλᾷ, καὶ οὐδόλως αἰσθητὸν τοῖς ὑπ' ἀκμαιοτέρου φωτὸς τοὺς ὀφθαλμοὺς βαλλομένοις. Τὸ τοίνυν ἀμυδρὸν τοῦτὶ φῶς, τὸ κυανὸν τῆς χροιᾶς ἐπὶ τῆς οὐρανίου χώρας ἐμφαίνει, ἔνθα πάντα, (τοῦ ἀέρος μὴ μεσολαβοῦντος) ἐπάναγκες ἦν βλέπεσθαι. Ἐπειδὴ δὲ τὰς ἐπιφανείας ἐγχρόους καθορᾷν εἰώθαμεν, τὰς ἀφῆ οὔσας ἁπτὰς, παραπλησίᾳ τινὶ ἐπιφανείᾳ καὶ τὸ κυανὸν τῆς οὐρανίου χροιᾶς ἀπονέμομεν, σφαῖραν πλάττοντες, ἔνθα οὐδόλως τι τοιοῦτον ὑφέστηκεν.

§ 525. Ἀκοῇ τῶν ἤχων ἀντιλαμβανόμεθα· τὸ δὲ, τοῦ ὀργάνου ὑγιαίνοντος, οὐκ ἄλλως συμβαίνει, εἰ μὴ τρομώδει τινὶ κινήσει διασαλευόμενος ὁ ἀὴρ, τῷ τυμπάνῳ τοῦ ὠτίου προσβάλοι· πείρᾳ δὲ μανθάνομεν, ὑφ' ὧν τε σωμάτων, καὶ ἐν αἷς περιστάσεσι τῷ ἀέρι ἡ τοιάδε κίνησις κοινωνεῖται· διὸ καὶ ὡς ἂν πολλάκις ἦχον τὸν αὐτὸν ὑπὸ αἰτίας τῆς αὐτῆς, γεννᾶσθαι συνίδωμεν, ἐκ τοῦ ἤχου αὖθις ἀκουσθέντος, παρεῖναι ἤδη καὶ τὴν αὐτὴν αἰτίαν εἰσβάλλομεν.

§ 526. Περὶ τόδε δὲ τὸ αἴσθημα παρατηρεῖν ἄξιον, ὅτι πολλάκις δι' αὐτοῦ περὶ τὸν τόπον παρακρουόμεθα ἐξ οὗ τὸν ἦχον προϊέναι κρί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νομεν. Τȣ̃ γὰρ ἤχȣ ὁ διορισμὸς δύναται τρέπεσθαι. Κατ' ἀνάκαμψιν δὲ, καὶ διὰ σωλήνων, ἐπὶ τόπον ȣ̓ πάνυ τι ἀπέχοντα ἄλλον μετάγεται. Διὸ ἐξ ἁπλῆς ἀκοῆς, εἰ μὴ ἐν χώρᾳ πάντη ἠνεωγμένη, ȣ̓κ ἔχομεν ἀσφαλῶς ἀποφήνασθαι, πȣ̃ ποτε κείμενον ἐςὶ τὸ ἠχȣ̃ν, τȣτέςι, τὸ τῆς τρομώδȣς κινήσεως τῷ ἀέρι μεταδιδȣ̃ν. Πολλάκις ἀλλ' ȣ̃ν, δι' ὧν ἄλλοθεν ἴσμεν, ἄλις ἀκριβῶς τὸ τοιȣ̃το προσδιορίζειν δυνάμεθα.

§ 527. Ἡ ὀδμὴ καὶ ἡ γεῦσις, ἰδιαζȣ́σας τινὰς τῶν σωμάτων ἰδιότητας ἡμῖν ἐμφανίζȣσιν, ἃς αὐτοῖς παρεῖναι ἐκ τῶν αὐτῶν ἐπανιόντων τεκμαιρόμεθα αἰσθημάτων, ὥςε ἐν πολλοῖς καὶ σῶμα σώματος ἡμȣ̃ς διαςέλλειν, δι' αὐτῶν ὁδηγȣμένȣς· ἀπαιτεῖται μέν τοι εἰς τȣ̃το πυκνή τις καὶ ἀμφιλαφὴς ἡ πεῖρα.

§ 528. Τȣ́των περὶ μιᾶς ἑκάςης ἰδίᾳ των αἰσθήσεων, παρατηρηθέντων, ᾗ ἄλλα τινὰ γενικώτερα προσθετέον, ἅπερ ἁπάσαις ἐςὶ προσανήκοντα.

§ 529. Α'. Ἐπὶ τῆς τῶν πραγμάτων ἐρεύνης, πλείονας, (ὡς ἂν τȣ̃το παρείη) παραληπτέον αἰσθήσεις, ἵν' ἐκ ποδῶν γένηται ἅπασα ἐξαπάτης ὑπόνοια· τῶν γὰρ αἰτίων τῆς ἀπάτης διαφόρων ὄντων, σπανίως μὲν, εἰ καί ποτε, ἔνθα δύο εἰσὶν αἱ κρίνȣσαι αἰσθήσεις, ἡ εἰς ταυτὸ γενήσεται σύνοδος· ἐφ' οἷς δὲ τρεῖς, ȣ̓δέποτε. Διὸ ῥᾳδίως τῇ τοιαύτῃ μεθόδῳ ἐπὶ τὸ ἀσφαλὲς ἐξικνȣ́μεθα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 530. Β'. Διὰ τῆς παρὰ τὰς διαφόρους αἰσθήσεις βασάνου, ἅπασα ὑπόνοια αἴρεται, ἡ τὸ αἰσθητήριον ἀφορῶσα· τὸ δ' αἰσθητήριον ἐν ἐυρώστῳ ἀεὶ ὑπεθέμεθα καταστάσει, ὅτι κακεχεκτοῦντος αὐτοῦ ἀπάτη ἂν παρακολουθήσειεν. Ἡνίκα γὰρ τὸ νεῦρον διατίθεται, καὶ ἡ αὐτὴ τούτῳ κίνησις κοινωνεῖται, ὅθεν ἂν αὕτη καὶ εἴη προβαίνουσα, αἴσθημα ἕψεται τὸ αὐτὸ (482). Οὕτω ποτὲ οἷς ἡ χεὶρ ἀποτέτμηται, τοῖς δακτύλοις δοκοῦσι τι διαψηλαφᾶν, οἷς οὐκ ἔτ' ἔχουσιν. Ἀλλ' οὐκ ἂν τοιάδε τις ἀπάτη συμβαίη, δυεῖν, ἢ πλειόνων αἰσθήσεων προσπαρειλημμένων· τὰ πολλὰ δὲ καὶ μόνῃ τῇ τοῦ ὀργάνου ἀνακρίσει, τὴν ἔλλειψιν ἀνακαλύπτειν δυνάμεθα.

§ 531. Γ. Οὐκ ἀεὶ δ' ἐπάναγκες, διὰ πλειόνων τὸ σῶμα βασανίζειν αἰσθήσεων, καὶ μιᾶς ἐνίοτε πρὸς τὸ ἀσφαλὲς ἀρκούσης, εἰ μόνον ποικιλαχῶς τὸ πρᾶγμα παρατηροῖτο, ὡς διαφέροντά γε ἡμῖν καὶ τὰ αἰσθήματα διεγείρεσθαι.

§ 532. Δ. Ἐν οἷς περὶ ἑκάστης ἰδίᾳ τῶν αἰσθήσεων ἔφθημεν τεθεωρηκότες, προσεθέμεθά που καὶ τὸ, **εἴπερ ἄλλοθεν, ἢ εἴπερ ἐκ τῶν περιστάσεων δῆλον.** Τοῦτο δὲ νοητέον περὶ τῶν ἄλλων αἰσθήσεων, τῶν εἰς συναντίληψιν ἀνακαλουμένων, ἢ περὶ αἰσθήσεως τῆς αὐτῆς, ἑτέρῳ τινὶ τρόπῳ προσεφαρμοζομένης· οὐδὲν ἧττον δὲ καὶ περὶ τῶν ἄλλων θεμελίων τῆς Ἠθικῆς Ἐναργείας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 533. Ε. Ἐπεὶ δὲ συνεχῶς συμβαίνει, τὸ πλείοσιν αἰσθήσεσι δύνασθαι προχρῆσθαι, ἢ καὶ ἐκ τῆς αὐτῆς αἰσθήσεως πλείονας περὶ τοῦ αὐτοῦ ἰδέας ἔχειν πορίζεσθαι, σπανίως ἡμῖν ἀμφισβητητέον ἂν εἴη, περὶ τὰς ἰδέας ἅσπερ δι' αἰσθήσεως ποριζόμεθα. Πάντως γὰρ τῷ τοῖς εἰρημένοις περὶ ἑκάστης ἰδίᾳ τῶν αἰσθήσεων προσέχοντι, ἅπασαν ἐκκλίνειν ἀπάτην ῥᾴδιον.

§ 534. ϛ. Ἀλλ' ἡ ἁπλῆ βάσανος, κἂν ἁπάσαις τις προχρήσετο ταῖς αἰσθήσεσιν, ἀτελεστέραν χορηγεῖ τὰ πολλὰ τὴν γνῶσιν τοῦ πράγματος. Ἐνίοτε δὲ καὶ σώματα πάμπαν ἀλλήλων διαφέροντα, διὰ τῆς τοιᾶσδε βασάνου, διακριθῆναι ἀπ' ἀλλήλων οὐ δύναται, καὶ τότε δὴ συναρωγὸν εἰληφότας τὴν τέχνην, τῇ ἐφαρμογῇ ἄλλων τινῶν σωμάτων ἐπαναλαμβάνειν δέον τὴν βάσανον· εἰ δὲ οὐδ' οὕτως, οὐδενὶ τρόπῳ διαφοράν τινα συνιδεῖν δυνάμεθα, ὥςγε πρὸς ἡμᾶς, οὐδὲν διοίσει τὰ ὑποκείμενα, καὶ ὡς ταυτὰ ὄντα ἐν ἅπασι νομισθήσεται.

§ 535. Ζ. Ἐξ ἀγνοίας δὲ πολλάκις παρακρουόμεθα καταφάσκοντές τι περιττὸν, ὑπὲρ ὃ τῇ αἰσθήσει προσπίπτει, ἢ καὶ ἐκ τῶν ἀνακαλυφθέντων, οἷον ἐστὶν ἐπιφέρεσθαι. Ὁράσει γραμμὰς δύο παραβάλλειν ἀλλήλαις δυνάμεθα, εἰ τὴν ἑτέραν οἷοντε ἐφαρμόσαι θατέρᾳ, ἢ γοῦν καὶ ἄμφω τρίτῃ τινὶ, ἥτις ἂν ὡς μέτρον παραληφθείη. Ἀλλ' ἐάν τις, εἰ ταῦτα μὴ ἐγχωροίη, ἁπλῇ τῇ δι' ἐποπτείας παρατηρήσει, τὴν τῶν εἰρημένων γραμμῶν ἐγχειροίη παράθεσιν, ῥᾷστα ἀπατηθήσεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 536. Η. Πολλῶν δὲ καὶ τὰς αἰσθήσεις διαφευγόντων, ἀφεκτέον τῦ κρίνειν, μὴ ταῦτα παρεῖναι, εἰμὴ τόδε ἐξ ἄλλων τινῶν ἕποιτο, τῶν αἰσθήσεσι παρατηρυμένων.

§ 537. Ἐκ τῶν περὶ τῶν αἰσθήσεων ἐκτεθέντων, καὶ τὴν λύσιν καρπύμεθα τῆς ἐνςάσεως, ἣ κατὰ τῆς γνώσεως προβάλλεσθαι εἴωθεν, ἣν δἰ αὐτῶν πορίζόμεθα. Ἐκ τῆς ἀπάτης, ἐφ᾽ ἣν, αἰσθήσει ἀγόμενοι, περιπίπτυσιν ἄνθρωποι, πᾶσαν τὴν δἰ αἰσθήσεως γνῶσιν, ἀτελῆ τυγχάνειν εἰσβάλλυσι.

§ 538. Οἱ μέν τοι ὕτω διανούμενοι, ψευδῆ τὴν τῆς εὐποιΐας ἰδέαν φέρυσι, ἧς ὁ τῶν ὄντων ὑπέρτατος Πρύτανις εὖ πεποιηκὼς ἐςὶ τὺς ἀνθρώπυς, ὃς αἰσθήσεσιν αὐτὺς κατεπλύτισεν.
Αἱ αἰσθήσεις ὐδὲν καθ᾽ ἑαυτὰς ἐκδιδάσκυσιν. Αὗται τῇ λαλιςικῇ πως δυνάμει τυγχάνυσι παραπλήσιαι. Διὰ ταύτης τὰ νοϋμενα ἀλλήλοις παριςῶσιν οἱ ἄνθρωποι, ἀλλ᾽ εἴτις ἀσαφῶς λέγοι φθεγγόμενος, μὴ τῦτο, τῇ τῦ λαλεῖν δυνάμει τὸ ἔλλειμμα προσαφθήσεται; τῦ Θεῦ πάντως τὴν εἰς τῦτο δεξιότητα δεδωκότος, τῦ ἀνθρώπυ ἂν εἴη, τὸ φιλοπονῆσαι περὶ ταύτην, καὶ τήντε χρῆσιν αὐτοῖς, καὶ τὴν τέχνην τῦ κατὰ τὸ δέον προσεφαρμόζειν, ὕτω προσκτήσασθαι. Παραπλησίως τοίνυν, ἀσυντελεῖς ἂν εἶεν καὶ αἱ αἰσθήσεις, εἰ μήτις χρῆσθαι αὐταῖς ἐπιςαμένως εἰδείη. Τὴν γὰρ χρῆσιν ἀγνοῶν, ὅσαι ὥραι παρακρυσθήσεται. Ἀλλὰ τύτυγε ἕνεκα, ἑαυτὸν μωμεῖσθαι δίκαιος ἂν εἴη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ νηπίων ἕκαςος καὶ φθέγγεται καὶ αἰσθάνεται ἀτελῶς γεμὴν διὰ παντὸς φθέγξεται, ὃς ἂν τῇ ἡλικίᾳ προήκων, περὶ τὸ ὀρθῶς λέγειν ὅδόλως ἐσπέδασεν. Ὡσαύτως ὅν, ἢ ταῖς αἰσθήσεσι προχρώμενος πυκνὰ σφαλεῖται, ὁ μὴ ἐπιμελῶς τὴν φύσιν αὐτῶν ἐκμελετήσας. Ἡ γὰρ ἐν αὐταῖς ἀπάτη ἐξ ἀπροσεξίας ἀείποτε ἤρτηται, ἢ ἐξ ἀγνοίας, ὧν ἀνωτέρως γενέσθαι ῥάδιον.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

# Περὶ τῦ Δευτέρυ Θεμελίυ τῆς Ἠθικῆς Ἐναργείας, τυτέςι περὶ τῆς τῶν ἄλλων Μαρτυρίας.

§ 539. Τοῖς παρὰ τῶν ἄλλων μαρτυρυμένοις, τὸ τῆς ἀξιόχρεω πίςεως ἀπονέμειν χρῆναι κατείδομεν (421). Δεῖν ἀλλ' ὅν καί τινα παραφυλάττεσθαι ἐν αὐτοῖς ἐπὶ τῦ παρόντος ὑποθετέον.

Τρία δ' ἄττα ἐπὶ τῦ μαρτυρῦντος παρεῖναι δεῖν, ἐξ αὐτῆς δῆλον παντὶ τῷ προσέχοντι.

α. Μήτιγε ὁ μαρτυρῶν ἀπάτῃ αὐτὸς περιπίπτει.

β Μὴ τὺς ἀκύοντας ἀπάτῃ περιβάλλειν ἐθέλοι.

γ. Εἰ καθαρῶς τὸ παριςάμενον ἐκδηλοίη, ὡς τὺς ἄλλυς αὐτὸ συνιέναι καλῶς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 540. Α. Ἐφ᾽ ᾧ τοίνυν τὸ πρῶτον παρεῖναι, τρία ἔτι τινὰ ἀναγκαίως προσαπαιτεῖται.

§ 541. 1. Τὸ μαρτυρούμενον περὶ τοιαῦτα εἶναι, ἅττα δῆλα εἴη τῷ μαρτυροῦντι· ῥᾷστα γὰρ ἄλλως ἀγνοηθήσεται αὐτῷ, ὅπως ἐπὶ τῆς τῶν τοιούτων ἐπικρίσεως χωρεῖν δέον, καὶ τίσι δήποτε τῶν περὶ τὸ πρᾶγμα θεωρουμένων μάλιστα τῇ ψυχῇ προσεκτέον. Ἐὰν περὶ ὁρατοῦ τινὸς ᾖ λόγος, σπανίως τις κατὰ πρώτην ἐπιβολὴν, τοῦ κοινῶς καὶ πρώτως τῇ ὄψει προσβάλλοντος, ἀκριβῆ τὴν ἰδέαν καρπώσεται.

§ 542. 2. Προσαπαιτεῖται δὲ περαιτέρω, καὶ τὸν μαρτυροῦντα, τὸ κατὰ οὐδὴν προσεσχηκέναι τῇ ἀνακρίσει τοῦ πράγματος· ἐὰν γὰρ ἀπεριμερίμνως ἑωρακὼς τύχοι ἢ ἐπιψαύσας, ποικίλα αὐτὸν διαπεφευγέναι ὑφορᾶσθαι προσήκει.

§ 543. 3. Τέως δὲ καὶ εἰ μὴ ἡσύχῳ καὶ ἠρεμαίᾳ τῇ ψυχῇ τὰ τῆς ἀνακρίσεως ἀνεβάλλετο, οὐ πάντη ἔξω στρέφεσθαι τῆς ἀπάτης τὸν μαρτυροῦντα εἰκός. Ταύτῃ τοι, καὶ δυσμενείας, καὶ φιλίας, καὶ ἐλπίδος, καὶ ὀργῆς καὶ τῶν λοιπῶν τοιούτων παθῶν δέον αὐτὸν καθαρεύειν. Ἀλλὰ καὶ εἰ ψευδέσι τισὶ προλήψεσι κατὰ ψυχὴν ἔτυχε προκατειλημμένος, μόλις που περὶ τοῦ πράγματος, ὅπως ποτὲ τῷ ὄντι ἔχει, κατανοῆσαι οἷός τ᾽ ἂν γένοιτο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 544. Περὶ γȣ̃ν τȣ́των, καὶ ἐξ αὐτȣ̃ τȣ̃ μαρτυρȣμένȣ, καὶ ἐκ περιστάσεων τινῶν ἄλλοθεν γινωσκομένων, κρίνειν δεῖ. Καὶ, λόγȣ τινὸς ὑπονοίας ὑφέρποντος, τὰ μαρτυρȣ́μενα ὑποπτεύειν.

§ 545. Τὰ δ' ἐπιζητȣ́μενα ὧν ὑπεμνήσθημεν, ἐπὶ πάνυ πολλῶν εἰς ταυτὸ συνέρχεται, ἔνθα λογος περὶ τῶν συνήθως τοῖς μαρτυρȣ̃σιν ἀπαντᾷν εἰωθότων καθ' ἑκάστην, ἅττα ȣ̓δὲν αὐτοῖς διαφέρειν, ὥστε καὶ εἰς πάθος κινεῖν.

§ 546. Β. Ἦν δὲ τῶν ἐπιζητȣμένων τὸ β', τὸ πιστὸν δεῖν εἶναι τὸν μαρτυρȣ̃ντα, μηδ' ὑποπτερνίσαι τȣ̀ς ἀκȣ́οντας βȣ́λεσθαι· πάρεστι δὲ τὸ ἐπιζητȣ́μενον τȣ̃το ἐπὶ πάνυ πολλῶν συνιδεῖν· ὡς εἴτις, ἢ πολλάκις συμβαίνει, ὑπείη δυσχέρεια, πρȣ́ργȣ ἂν τοῖς ἐφεξῆς προσέχειν την διάνοιαν.

§ 547. 1. Ἐκ τῶν ἠθῶν, καὶ τῆς ἀγωγῆς τȣ̃ βίȣ, καὶ τῶν περιστάσεων, περὶ τῆς προθέσεως δέον κρίνειν, εἴ τις ἀπατῆσαι προσέθετο.

§ 548. 2. Σπανίως ἐπίτηδες καὶ ἐκ προθέσεως ἀπατᾷν αἱρȣ̃νται τȣ̀ς ἄλλȣς, ἐφ' οἷς ȣ̓ πρόκειται, τόγε σφίσιν αὐτοῖς διαφέρον· ἃ δ' ἂν αὐτοῖς διαφέροι λίαν σαφῶς ἀναφαίνεται.

§ 549. 3. Ὁ κατὰ τȣ̃ συμφέροντος αὐτῷ φθεγγόμενος, ἀπατᾷν βȣλομένῳ ἥκιστα ὅμοιος.

§ 550. 4. Τὸν δὲ καὶ ἐπομνύοντα τῷ μαρτυρȣμένῳ, ἄνδρα ἄλλωστε τὰ τῆς θρησκείας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κα̣ὶ εἰδότα, κ̣ὶ σέβοντα, μηδὲ τὰ ἤθη διεφθορότα, ἀνυπόπτως παραδέχεσθαι χρὴ, ὡς μὴ ἐξαπατῆσαι βελόμενον.

§ 551. 5. Πλειόνων δὲ μαρτύρων εἰς ταὐτὸ συντρεχόντων μηδενός τε λόγε συνομωσίας προκαθεσώσης ὑπόντων, μηδὲ δυνατῆς ἄλλως ἔσης τῆς τοιᾶσδε συνωμωσίας, ἀπατηλῆς γνώμης πᾶσα ὑπόνοια, ὡς ποῤῥωτάτω ἐλήλαται.

§ 552. 6. Οὐδὲ περὶ τὸ πιςὸν ἐκείνε ἐνδοιάζειν δέον, ὃς τὰ ἄλλοθεν αὐτῷ διέξεισιν ἥκοντα, ἃ αὐτὸς καθ᾽ ἑαυτὸν εἰδέναι ἐκ ἔχε, κἂν εἴ τινα ἄλλα διηγέμενος τυγχάνει μὴ ἀληθεύοντα. Οὔκεν ἐνδοιαςέον περὶ τῆς περὶ τὴν Ἀφρικὴν περιόδε, περὶ ἧς ἐν Ἱςορίαις, Βιβλ. Δ. Ἡρόδοτος. Ἧπε δὲ καὶ ἀληθεύειν τὴν περιήγησιν ἐκείνην ἐξιςορεντα τὸν Ἡρόδοτον ὑποληπτέον, ἐξ αὐτῶν ἐκείνων, ἅπερ ὡς ἄπιςα δοκεντα οἱ ἐκσυρίττει.

§ 553. 7. Ὃς ἂν πολλάκις, καθ᾽ ἧς ἔγνω ἀληθείας εἶπεν, ἐδενὸς ἐςὶ πίςεως ἄξιος.

§ 554. 8. Ὁ ὑπὸ πάθες εἰς τὸ λέγειν ἀγόμενος, ἢ περὶ τῶν αὐτῷ συμφερόντων πραγματευόμενος, ὕποπτος.

§ 555. 9. Οἷς περ ἐπιταχθῆναι τὸ μαρτυρῆσαι δυνατὸν, ἐ παραδεκτέοι, ἐὰν κατὰ σκοπὸν, καὶ πρὸς τὸ συμφέρον τε ἐπιτάξαι αὐτοῖς ἐξεσίαν ἔχοντος, λέγωσι.

§ 556. Γ. Τρίτον δὲ κατὰ γένος ἀπητεῖτο εἰς μαρτυρίας ἀξιόχρεω παραδοχὴν (539).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα τις σαφῶς τὸν νῦν ἐκφαίνῃ τὸν ἑαυτῦ, ϗ εὐξυμβόλως, ὥςε τὰ λεγόμενα αὐτῷ καλῶς νοεῖσθαι. Πρὸς δὲ δὴ τύτῳ, ὐδὲν ἧττον ἐπιμελῶς, ἢ τοῖς ἄλλοις τὸν νῦν προσεκτέον. Πλείω γὰρ ἐςὶ τὰ καταμαρτυρύμενα, παρ᾽ ἔλλειψιν τοιύτυ, ἢ ἐκ τῶν ἄλλων αἰτίων ἃ παρεθέμεθα.

Τῇ γῦν ἀκριβεῖ τῶν λεγομένων σημασίᾳ οἱ πολλοὶ ὐ προσέχυσιν, εἴτε αὐτοὶ φθεγγόμενοι τύχοιεν, εἴτε ϗ τῶν ἄλλων ἐκπυνθανόμενοι. Διὸ ϗ παρανοεῖται τὰ πολλὰ ἡ μαρτυρία, παρερμηνευομένη παρ᾽ ὃ λέγεται.

§ 557. Πολλάκις δὲ διερωτώμενοί τινες περὶ τῶν τῦ γεγονότος περιςάσεων, εἰ μὴ καλῶς τινὰ συνιῶσι, περὶ ὧν αὐτοὶ κατὰ νῦν ἤδη φέρυσιν, κατ᾽ ἐκεῖνο τῆς ὥρας οἴονται διερωτᾶσθαι, εἰ βραχεῖα τις μάλιςά γε χέσις παρεγχωροίη· ἔνθεντοι ϗ καταφάσκοντες ἀπαντῶσιν, ἐφ᾽ οἷς ἐχρῆν ἀπαναίνεσθαι.

§ 558. Ῥᾶςα δὲ ϗ τῦτο πολλοὶ ἀναπείθονται, ὡς ἅπερ αὐτοῖς συνήθητε ϗ καθημερινὰ τυγχάνει, αὐτὰ ταῦτα, ϗ τοῖς ἄλλοις γνώριμά τε ϗ δῆλα ἐςί. Διὸ καί τινα τῶν περὶ τὸ πρᾶγμα σιγῶσιν, ἅπερ ἤδη ὑπονοεῖσθαι νομίζυσι· ϗ ἅπερ ὕτως ἐκφέρυσι, τοῖς ἐν τῇ ψυχῇ αὐτοῖς ὐδαμῶς συμβαίνυσιν.

§ 559. Οὗτοι δὲ πάντες, οἱ ὕτως ἔχοντες, ἐπειδὴ ἀγαθῇ τῇ πίςει ἕκαςα διαπράττονται, ἑτοίμως ἀφείπερ ἔχυσι, ϗ ὅρκοις, δέησαν, τὰς ἃς παρέχονται μαρτυρίας προσεμπεδῦν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 560. Ἵνα δὲ πᾶσα καὶ περὶ τὴν ἀπυσίαν τῦ τρίτυ τῶν ἐπιζητυμένων ὑπόνοια ἐκ μέσυ ἀρθῇ, προσεκτέον τοῖς ἐφεξῆς.

1. Δεῖ μὴ μόνον τὰ λέγοντα, τοῖς συνήθεσι τῶν ὀνομάτων προσχρῆσθαι, ἀλλὰ καὶ τὸν ἀκύοντα καθ᾽ ὃν αὐτὰ λέγεται νῦν, παραδέχεσθαι. Ἐπὶ τοῖς τεχνικοῖς τῶν ὀνομάτων, συμβαίνει ἐνίοτε ἀπάτην τινὰ ἐντεῦθεν γίνεσθαι. Οἱ πλωτῆρες πολλαχῦ τῆς Ὀλλανδικῆς χώρας, ὑπὸ διαφέρυσιν ὀνόμασι, τὸ αὐτὸ τὰ πολλὰ ὑποσημαίνειν εἰώθασι. Καὶ πάλιν ταὐτὸ λέγοντες, καὶ Βελγιστὶ διαλεγόμενοι, καὶ ῥήμασι τοῖς εἰωθόσι χρώμενοι, διαφέροντά γε μὴν λέγειν ἐοίκασι.

§ 561. 2. Διηγυμένυ τινὸς, ὃ παρ᾽ ἄλλυ ἔχει διακηκοὼς, ἐπικριτέον, μήτιγε κατ᾽ ἐπιφορὰν ἢ ἑρμήνευσιν προστίθησι.

§ 562. 3. Εἴ τις διαφέρυσιν ὀνόμασι, ταὐτὸ ἐπαναλαβὼν ἐκφράζοι, τὴν τῶν ὀνομάτων ἐκδοχήν τε καὶ σημασίαν παρέχεται ἀνενδοίαστον.

§ 563. 4. Πόῤῥω δὲ ἀμφιβολίας τὰ λεγόμενα ἵστησι, καὶ εἴτις ἐπερωτώμενος, ὐχ ἁπλῶς ἀποφάσκων, ἢ καταφάσκων ἀπαντᾷ, ἀλλὰ διερμηνεύων τὸ πρᾶγμα καὶ ἐκτιθέμενος· ὅπερ ἀλλ᾽ ἔι, περὶ τῶν ἐλαχίστων ἑκάστης περιστάσεων ποιεῖν, ὐκ ἔστιν ἀναγκαῖον. „Πολλὰ δὲ „καὶ περὶ τῶν προγεγονότων, πολλὰ δὲ καὶ „τῶν παρηκολυθηκότων, ὁ τὴν μαρτυρίαν κατα„τιθέμενος, ἐστὶ διερωτητέος.„ Κυϊντιλιανός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 564. Οὕτω δὲ μάλιστα προσεκτέον τοῖς μαρτυρουμένοις, ἐθ' ἂν ἐπὶ δίκης συνισταμένης αὐτὰ προχειρίζηται, ὅτε καὶ ἐπαναληπτέον τὴν ἀνάκρισιν, καὶ λίαν ἐπιμελῶς, μὴ ὑπὸ τῆς δικανικῆς περιεργολογίας, ὑποσυρόμενοι οἱ μαρτυροῦντες, ἐν ἀγαθῇ καί τοι τῇ πίστει, ψευδεῖς τὰς μαρτυρίας ὦσι κατατιθέμενοι. Θαυμαστὸν ὅπως ἥττονες τῆς τοιαύτης ῥᾳδιουργίας γίνονται τῶν ἀνθρώπων οἱ χυδαῖοι, οἱ μὴ μόνον ἐν ἀγνοίᾳ τῶν δικανικῶν πραγμάτων διατελοῦντες, ἀλλ' οὐδὲ ἰδέαν μικροῦ ὡρισμένης τινὸς σημασίας, οὐδ' ἐπὶ τῶν κοινοτάτων ὀνομάτων φέροντες.

§ 565. Ἐπὶ δὲ τὰς μαρτυρίας, τά τε τέλη, καὶ τὰ δημόσια τῶν ὑπομνημάτων ἀνάγονται, ἃ δεόντως ἐν τοῖς νομικοῖς, καὶ τῶν μαρτύρων αὐτῶν εἰς πίστιν ἐστὶ κρατίστερα.

§ 566. Τῶν δὲ περὶ τῆς μαρτυρίας εἰρημένων τὰ πλεῖστα, ἐπὶ τῶν τὰς ἱστορίας ἀναγεγραφότων, τηρητέον, τὰ ἐν αὐτοῖς βέβαια, τῶν ἀμφισβητησίμων ἀντιδιαστέλλουσι. Διαλαμπρύνεται δὲ τὸ τῆς ἱστορίας, τῇ παραθέσει τῶν παρὰ διαφόροις τῶν Συγγραφέων ἱστορουμένων, μάλιστα δὲ τῶν ἰδίᾳ καθ' ἑαυτοὺς δι' αὐτοψίας, ἢ καὶ ἐξ ἀπομνημονευμάτων βεβαίων, τὴν τῶν πραγμάτων εἴδησιν, περὶ ὧν ἱστοροῦσιν, ἐξαρύσασθαι δυνηθέντων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

## Περὶ τȣ̃ τρίτȣ θεμελίȣ τῆς Ἠθικῆς ἐναργείας, τȣτέςι περὶ τῆς Ἀναλογίας.

§ 567. Ὅτι δὲ ϗ οἱ τῇ Ἀναλογίᾳ ὡς θεμελίῳ προσερειδόμενοι συλλογισμοὶ, ἐπὶ τὴν ἀληθῆ τῶν ὄντων γνῶσιν ποδηγετȣ̃σιν ἡμᾶς, φθάσαντες εἴδομεν (492). Ἐπιθεωρητέον ȣ̃ν ἤδη, ὅτι ἐπὶ πάνυ πολλῶν ἡ ἀναλογία ἐκτείνεται, καὶ ταύτῃ βέβηκε τῇ ἀρχῇ.

§ 568. Ὅτι τὸ πᾶν θεσμοῖς τισι καθολικωτάτοις, ϗ ἀπαραβάτοις διεξάγεται.

§ 569. Εἰ μὴ γὰρ τὸ λεγόμενον ὡς ἀληθὲς ὂν συγχωρηθείη, μηδεμίαν ἐκέτι ἐγχωρεῖν τοῖς ȣ̃σιν ἀναλογίαν ῥάδιον ἐςὶ συνιδεῖν. Ἀλλά γε τὸ ἐκείνȣ βέβαιον, ἐκ τῆς τȣ̃ Θεȣ̃ βȣλήσεως ἐπιφέρεται. Εὔδηλον γὰρ, ὡς ἐκεῖνος ἠθέλησε νόμοις ςεῤῥοῖς τε ϗ ἀμεταθέτοις συσφίγξασθαι τὸ τῶν ἐνύλων ȣ̓σιῶν σύνταγμα. Διὸ καὶ τὰ ἐκ τῆς τοιᾶσδε ἀρχῆς ἐπαχθησόμενα ἡμῖν συμπεράσματα, ἔξω πάσης ἀμφισβητήσεως κείσεται.

§ 570. Διὸ τȣ̀ς ἐφεξῆς δύο ὅρȣς προσιέμεθα, ὧν ὁ μὲν ἐςίν: Ὅτι τῶν παραπλησίων ἀποτελεσμάτων, καὶ τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*αἴτια ὅμοια ἐςί.* Νοητέον δὲ ταύτῃ γε τὸν κανόνα τόνδε, ὥςε πάσας τὰς εἰς θέσιν τῦ αἰτιατῦ προσανηκέσας περιςάσεις παρεῖναι εἰς ταυτὸ συνιέσας.

§ 571. Ἐπὶ γῦν τῶν ἁπλεςέρων ἀποτελεσμάτων ὐδὲν δυσχερὲς· ὡς πάντα λίθον διὰ τὴν αὐτὴν αἰτίαν ἐπὶ τὰ κάτω φέρεσθαι πεφυκέναι, ὐδεὶς ὅλως ἀμφιγνοεῖ.

§ 572. Ἐπειδὰν μέν τοι τὸ ἀποτέλεσμα ἐςὶ σύνθετον, χαλεπῶς αἱ περιςάσεις πᾶσαι τὰ πολλὰ γινώσκεσθαι πεφύκασι, κἀνταῦθα τοίνυν πεφεισκεμμένως χωρεῖν δεῖ. Ἀνέμυ πνέοντος ὁ ἀὴρ κινεῖται. Ἀλλὰ τὶς ὁ εἰδὼς τὰς ἐπὶ τῇ τῦ ἀνέμυ πνοῇ, ποικίλας τῦ ἀέρος κινήσεις; τοιγαρῦν ὐ πόῤῥω θρασύτητος ἂν εἴη, παντὶ ἀνέμῳ τὴν αὐτὴν ἀναγράφειν αἰτίαν βύλεσθαι.

Ὁ δὲ δεύτερος ὅρος ὗτος ἐςί.

§ 573. *Τὰ ἐνυπάρχειν τοῖς σώμασιν ἀναυξῶς τε καὶ ἀμειώτως, ἅπασιν οἷς ἂν ἀνακρῖναι γένοιτο, ἐπιθεωρύμενα, ὡς κοινὰ σωμάτων ἁπάντων ἰδιώματα, νομίζειν χρεών.*

§ 574. Τὸ δὲ τῆς μειώσεώς τε καὶ αὐξήσεως περὶ ὧν ἐν τῷ κανόνι εἴρηται, ἐπ' αὐτὰ δὴ τὰ ἴδια, ὗκεν ἐπὶ τὰ ἀποτελέσματα τέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των ἀναφέρειν δεῖ. Ἡ μὲν γὰρ κίνησις αὔξησίν τε ϗ μείωσιν ἐπιδέχεται, ἡ δὲ τȣ͂ κινεῖσθαι δύναμις, ἧς ἡ κίνησις ἐςὶν ἀποτέλεσμα, ἀναυξὴς τυγχάνει ϗ ἀμείωτος. Διὸ τὴν δύναμιν ταύτην, καθ' ἣν κινεῖσθαι φύσιν ἔχει τὰ σώματα, πάντα, ὅσων ἂν διὰ πείρας τὸν ἔλεγχον ἐςὶ λαβεῖν, ἅπασιν ἁπλῶς ἐν γένει τοῖς σώμασιν ἀπονέμομεν.

§ 575. Ἀφορᾷ δὲ ὁ κανὼν ȣ̓͂τος, ϗ τὰ ἔν τισι χωρȣ͂ντα περιςάσεσιν ἴδια, ἅττα ἐπὶ τῶν ὁμοίων περιςάσεων, ἀεὶ παρεῖναι ἐξ ἀνάγκης νομίζεται. ἕπεται γὰρ τόδε ἐκ τῆς κατὰ γένος ἀρχῆς (568) ἐκείνης. Διὰ τȣ͂το τοίνυν, ϗ πάντα τὰ ἐκ γειτόνων ὑπάρχοντα τῇ γῇ σώματα βαρέα εἶναι ἀποφαινόμεθα.

§ 576. Ἐπὶ τȣ́των ȣ̓͂ν, ϗ τῶν παραπλησίων, ὅσα ἁπλȣ́ςερα ὄντα ἐςὶν, ȣ̓δὲν δυχερὲς ἀπαντᾷ, ȣ̓δὲ ἀπάτης ὅλως ὑπόνοια φέρεται, ἀλλ' ἐπὶ τῶν μᾶλλον συνθέτων, πολλὰ ἅττα περισκεπτέον.

Πρὶν ἢ γὰρ ὑποσυνάψαιμεν τοῖς αὐτοῖς τῷ εἴδει φυτοῖς, τὰς αὐτὰς ἐνεῖναι δυνάμεις δεῖν, ϗ τῇ χώρᾳ προσεκτέον ἐν ᾗ φύονται.

§ 577. Εἰς ἐντελῆ πληροφορίαν, τȣ͂ τὴν τροφὴν φέρε τὴν προκειμένην δηλητηρίῳ φαρμάκῳ, μηδαμῶς συμμεμῖχθαι, ȣ̓κ ἀπόχρη μόνα γινώσκειν ἃ φαίνεται, ἀλλὰ δέον ϗ ἄλλοθεν ἐπ' αὐτοῖς εἰδέναι, μὴ ἄρα τι ϗ τῶν μηδαμῶς φαινομένων συμπέφυρται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 578. Ἃς μὲν ἓν ἰδίᾳ τε ἢ ἐν μέρει τῆς κατ' ἦθος ἐναργείας, ἀρχὰς ὑπεθέμεθα, ἐπὶ τῆς τῶν πραγμάτων ἐρεύνης, ἐ διαχωρηςέον· Ἄνευ τῶν αἰσθήσει ἀποκαλυπτομένων, ἐκ ἔςι μαρτυρία, ἐδὲ συλλογισμὸς ἐξ ἀναλογίας εἰσβάλλων. Ἄνευ τε τῆς τῶν ἄλλων μαρτυρίας, ἐδεὶς ἂν ταῖς ἰδίαις μόναις παρατηρήσεσιν ἐρειδόμενος, τὸ συναγόμενον παντὶ σώματι ἀπονέμειν δυνήσεται.

§ 579. Ἀναλογίας ἄνευ, καὶ μαρτυρίας τῆς παρὰ τῶν ἄλλων (578) ἐδὲν κατ' αἴσθησιν εἰδέναι δυνάμεθα· οἷον ἐπὶ τῆς ὁράσεως φέρ' εἰπεῖν ὑποτιθέμεθα, τὸ φῶς κατά τινας ὅρες ἀτρέπτες, τὲς ὀφθαλμὲς ἁπάντων κινεῖν· ὑπὸ παντὸς σώματος κατὰ τὲς αὐτὲς θεσμὲς ἀνακλᾶσθαι. Καὶ ἐπὶ πασῶν ἁπλῶς τῶν αἰσθήσεων, ἐκ τῶν αὐτῶν αἰτίων, τὰ αὐτὰ νεῦρα, κατὰ τὸν αὐτὸν τρόπον ἐπ' ἀκριβὲς διατίθεσθαι.

§ 580. Δέδεικται, τήν τε αἴσθησιν, καὶ τὴν τῶν ἄλλων μαρτυρίαν, καὶ τὴν ἀναλογίαν, ἰσχυρὲς πειθὲς ὑποκείμεθαι θεμελίες· ὑπετέθη δὲ καὶ ἄττα ἐπὶ τέτων ἑκάςων προσεπιζητεῖται, ὡς ἂν ἐδεμίαν ἐγκαταλείποιτο ὑπόνοιαν τῇ ψυχῇ. Εἰδέ τις περὶ τὰ ἀποδειχθέντα ὑπενδοιάζων εἴη, διὰ τὸ ἐπὶ τῆς τῶν αἰσθήσεων ἀνακρίσεως τὴν ἀναλογίαν ἡμᾶς προϋποθέσθαι, πρὶν ἢ περὶ τῶν ταύτηγε ἀνηκόντων διαλαβεῖν, τέτῳ ῥᾴδιον ἔςαι ἤδη τῶν κατὰ ταύτην ἀναπτυχθέντων, ἀναπεμπάσασθαι τὴν ἔρευναν, τῶν ἐκ τῆς ἀναλογίας ἐν τῇ τῶν αἰσθήσεων ἀναπ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τύξει προειλημμένων· εὐχερῶς γ᾽ ἐρ συνήσει μηδὲν ἐν τέτοις ἀμφισβητήσιμον περιλείπεσθαι.

§ 581. Ἔνθα περὶ τῶν ἀλλήλοις συνεπιπλεγμένων ὁ λόγος, πρὸς ἐκφυγὴν οἱασȣν συγχύσεως, ἐν μέρει ἕκαστα διαληπτέον, ϗ πολλάκις ἔσχατον ἐπὶ πᾶσιν τινὰ ἀναθετέον, ἃ πρὸς διασάφησιν τῶν ἐξ ἀρχῆς ἀναπτυχθησομένων τυγχάνει πρεργιαίτατα.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

## Περὶ τȣ̃ Πιθανȣ̃.

§ 582. Τὴν μαθηματικὴν ἐνάργειαν τῆς ἠθικῆς τῷ παντὶ κατείδομεν διαφέρȣσαν· ἡ μὲν γὰρ καθ᾽ ἑαυτὴν (457. 458), ἡ δὲ κατὰ Θεȣ̃ βέλησιν (488. 491. 492) τȣτέϛι, θέσει, ἀληθείας κριτήριον πρόκειται.

§ 583. Ἐπεὶ δὲ ἑκατέρας ἡ βάσις ἐϛήρικται, πλήρης ȣ̓δὲν ἧττον τυγχάνει ϗ ἡ τῇ ἠθικῇ ἐναργείᾳ παρεπομένη πειθώ, ἥτις τῆς πληροφορίας διαφέρȣσα ἐϛὶ τῆς κατὰ τὴν ἠθικὴν βεβαιότητα λεγομένης. Ἄυτη ϗ γὰρ, ȣ̓δὲν ἢ ἐπισήμῳ τινὶ πιθανότητι προσερείδεται.

§ 584. Ἐν μεταιχμίῳ τῆς ἀγνοίας ϗ τῆς ἐπιϛήμης ἡ πιθανότης ἐϛίν· ἐνδεῖ γὰρ τῇ ἐπιϛήμῃ πρὸς πληροφορίαν ȣ̓δὲν, ϗ ταύτης τὸ τῆς πιθȣ̃ς ἀπόλυτόν ἐϛαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 585. Χώραν τὸ πιθανὸν ἐκ ἔχει ἐπὶ τῆς ἐναργείας τῆς μαθηματικῆς· διὰ γὰρ ταύτης τὸ τῆς ἐπιςήμης τῇ τῶν ἀμέσως προσλαμβανομένων ἰδεῶν (457) προσόδῳ κρατύνεται, ἢ τῇ παραθέσει πρὸς ἀλλήλας τῶν ἃς φθάσαντες προειλήφαμεν (460).

§ 680. Ἑκάςης δὲ τῶν προσγινομένων ἡμῖν ἰδεῶν ἡ γνῶσις ἀκέραιος τυγχάνει· ἐδὲ γὰρ οἷόντε ἀγνοίας τε καὶ ἀναμφιβόλε ἐπιςήμης μέσον τι ἐννοῆσαι, ἐφ᾽ ὧν ἀμέσως τῇ ψυχῇ πάρεισι (461).

§ 587. Οὐκ ἔνι δὲ τῦτο λέγειν κἀπὶ τῆς ἠθικῆς ἐναργείας, εἰς γὰρ ἐπιβολὴν τῆς τῶν ἐκτὸς ἡμῶν κειμένων πραγμάτων γνώσεως, πλεῖςα συνδραμεῖν ἀνάγκη· καὶ εἰ τινῶν παρόντων τὰ λοιπὰ ἀπείη, ἀτελῶς τὸ τῆς πειθῦς ἔχει. ἐπὶ τῇ τῆς ἰδέας ἢ τῦ νοεμένε συμφωνίᾳ τε καὶ συμβάσει. Καὶ εἶεν ἂν πλείες οἱ βαθμοὶ ἑπομένως τῆς ἕτως ἐχέσης πειθῦς ὃς δὴ βαθμὲς πειθῦς ἡμῖν ἕτω καλεμένες διοριςέον.

§ 588. Ἐὰν ἐπὶ τῦ πράγματος, συμβῇ, ὃ περὶ αὐτῦ ἐννοῦμεν, τῦτο ὀνομάσομεν **ἔκβασιν**· ὅτι, καθ᾽ αὑτὸ τὸ πρᾶγμα θεωρηθὲν, ἄλλως ἂν ἔχειν δύναιτο. Τὸ δέ τοι πιθανὸν ἐπίσης ἀφορᾷ τῶν ἐκβάσεων τὰς ἐσομένας ἢ τὰς ἐνεςώσας ἢ τὰς παρωχημένας.

§ 589. Πᾶν ὅ,τι εἰς μὲν ἀπόδειξιν συντελεῖν δύναται, καθ᾽ ἑαυτὸ δὲ ἐκ ἀποδεικνύει



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένον, βαθμόν τινα πιθανότητος ἀνίστησιν. Εἰ διαπυθοίμην ἐν ᾗ ποτ' ἄν τις οἰκίᾳ διαλανθάνει, μάθοιμι δὲ τὴν ἐν ᾗ πόλιν ἐστὶν, ἔξωτι τῶν πρὸς γνῶσιν τοῦ ζητουμένου ἀπαιτουμένων· τοῦτο μέντοι οὔπω ἅλις ἔχον ἐστίν. Ὡς εἴγε καὶ ἡ πλατεῖα μοι ὑποδειχθείη, τόγε τῆς πιθανότητος ἐπαυξηθήσεται, κἂν εἰ τὸν οἶκον οὗ ἐστὶ διορίσαι ἐπιχειρήσαιμι, ἥττων ἔσαι τῆς ἀπάτης ὁ κίνδυνος, ἤπερ εἴπου καθ' ὅλην ἁπλῶς τὴν πόλιν πειραθείην ἀπομαντεύσασθαι.

§ 590. Καὶ δῆλον ἄρα ἐκ τῶν εἰρημένων, μὴ αὐτὰ τὰ πράγματα, τὴν δὲ καθ' ἡμᾶς γνῶσιν τὸ πιθανὸν ἀφορᾶν· καὶ ἐστὶ πηλικότης τις ἡ ἀπὸ τοῦ νεάτου τῆς γνώσεως βαθμοῦ, μέχρι τῆς ὁμοτελοῦς καὶ πληρεστάτης πειθοῦς ἐπιαύξειν πεφυκεῖα.

§ 591. Ἔνθεν τοι ὡς ὅλον τιθέαμεν τὴν βεβαιότητα, καὶ ταύτην εἰς μέρη διαιρετὴν ἐννοοῦμεν. Διὸ καὶ τὸ πιθανὸν πηλίκον ἂν εἴη προσδιορίζουσιν, ἀποδοτέον τὸν μεταξὺ τοῦ ὅλου λόγον, καὶ τοῦ μέρους, ᾧ τὸ ἡμῖν γνωστὸν πλέον ὑποδηλοῦται.

§ 92. Θῶμεν δὴ ἀποβαίνειν ἄνθρωπόν τινα τῆς νεὼς, ᾗ ἐνῆσαν Βέλγαι μὲν ὀγδοήκοντα καὶ τέσσαρες, Ἄγγλοι δὲ δυωκαίδεκα, Γερμανοὶ δὲ τέτταρες· ἀγνοεῖσθαι δὲ ὑποτιθέσθω καὶ ποδαπὸς ὁ ἀποβαίνων· φανερὸν οὖν, ὡς ἐλάττων μὲν τοῦ σφαλῆναι ὁ κίνδυνος, πλεῖον δὲ τὸ πιθανὸν τῷ Βέλγην αὐτὸν διατεινομένῳ εἶναι, τοῦ ἐξ ὁπουδήποτε τῶν ἄλλων ἐθνῶν κρίνοντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 593. Ἀλλ' ἐκ ἂν ἁπάσης πιθανότητος φέροιτο, κἂν μικρᾶς τυγχάνων, ἢ εἴ τις Γερμανὸν ὑπολάβοι.

§ 594. Ἐν μὲν ἒν τῇ προτέρᾳ ὑποθέσει, ἔχοι ἂν τὸ τῆς πειθῆς πρὸς τὸ βέβαιον, ὡς 21 πρὸς 25, ἐν δὲ τῇ δευτέρᾳ ὡς 1 πρὸς 25. ὁ δὲ λόγος τῆ διορισμῆ ἐπὶ τῶν ἑξῆς ἔσαι δῆλος.

§ 595. Ὁμοιαληθὲς δὲ καλεῖται τὸ πιθανὸν, τὸ ὑπὲρ ἥμισυ τῆ βεβαίῃ γινόμενον. Κοινῇ πιθανὸν ἢ τόδε καλεῖν φιλῆσιν· ἀλλὰ διακριτέον ἔμπης τῆ πιθανότητά τινα ἔχοντος.

§ 596. Ἡ ἐξ ἡμισείας βεβαιότης, τὴν κυρίως συνίςησιν ἀμφιβολίαν· ἡ δὲ κατάςασις ἂν ἀντιῤῥοπίας καλοῖτο.

§ 597. Οἱ τῆ πιθανῆ βαθμοὶ αὔξῆσιν ἀπὸ τῆς ἀμφιβολίας ἄχρι πρὸς τὴν βεβαιότητα.

§ 598. Οὗ τὸ πιθανὸν ἧττον ἐςὶ τῆ ἡμίσεως τῆς βεβαιότητος, ἀβέβαιον λέγεται· κἂν ταῦθα δὲ πλείονας ἐγχωρεῖν βαθμὲς, φανερόν.

§ 599. Ἐπὶ τὸ πιθανὸν ἀνάγεται, καὶ ἡ τῆ ὅτι δυνατὸν τυγχάνει ἀπόδειξις· ἐπὶ παντὸς γνωσθησομένε πρὸ πάντων εἰδέναι δεῖ περὶ τῆ πράγματος, ὡς εἶναι ἥκιςα ἀδυνατῶ. καὶ τὸ ἁπλῶς ἒν δυνατὸν εἶναι τὴν τῆ πιθανῆ συνίςησιν ἀρχήν· τῆτέςι τὸν βαθμὸν τῆτε τὸν πάντων ἐλάχιςον, ἤτοι τὸν παντὸς τῆ δοθέντος ἐλάσσονα. Οὗ χάριν καίπερ κυρίως εἰπεῖν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐχὶ ἐδὲν τῆς παντελῆς ἀγνοίας ὁ βαθμὸς ἔτος διηνήνοχεν. τῆς, καὶ περὶ αὐτῆ τῆ δυνατῆ, ἐδὲν ὅπερ ἂν καὶ εἰδείη τιθέναι ἐχέτης, ἐπὶ γεμὴν τῆς πράξεως ἐδὲν τῆς ἀγνοίας ἔοικε πλεονεκτεῖν, ἡ ἁπλῆ τῆ δυνατῆ γνῶσις· οἷον τὰ περὶ τῶν Κυκλόπων φέρε, ἢ τῶν Σατύρων ἐξιςορέμενα, ἐδὲν ἧττον τοῖς πλάσμασιν ἐναριθμητέα, κἂν εἴ τις τὸ μὴ πόῤῥω τῆ δυνατῆ εἶναι τὰ τοιαῦτα κατασκευάσειε.

§ 600. Τὸ πιθανὸν ἐςὶν ὅτε ἐπάγεται ἐξ αὐτῆς τῆς τῆ πράγματος διασκέψεως. Ἔςιν ὅτε δὲ ἐκ τῆς πιθανολογίας τῆ ἐπιχειρήματος, ᾧπερ ἡ κατάφασις προσεπερείδεται.

§ 601. Ἐπ' ἀμφοῖν οἱ αὐτοὶ ὅροι ἐν χρήσει εἰσὶν πρὸς διορισμὸν τῆ πιθανῆ πηλίκον ἐςὶ, κἂν ἁπλῆν αὐτὸ εἴη, κἂν τε σύνθετον.

§ 602. Καὶ περὶ μὲν τῆ ἁπλῆ ἐν τῷδε τῷ Κεφαλαίῳ πραγματευσόμεθα, ἐπὶ δὲ τῆ ἐφεξῆς ἀναπτύξομεν τίσι δήποτε προσεκτέον, ἔνθα ἂν πλείω τῇ διασκέψει τὰ πιθανὰ ἀπαντήσειε.

§ 603. Πρὸς διορισμὸν ἦν τῆ πιθανῆ τῆ ἐκ τῆς τῆ πράγματος φύσεως ἐπιφερομένε, θέσεις ἐςὶν ἅς τινας δυνατὰς σημειωτέον, ἐν οἷς ἂν ἡ προβαλλομένη ἔκβασις, περὶ ἧς τῆ πιθανῆ ὁ λόγος, ἀναγκαίως ἐμπεριέχοιτο. Αἱ δὲ τοιαῦται θέσεις σύνθετοι ἦσαι, ἔτω διαιρετέαι, ὥςε πάσας εὐμαρῶς ἐπίσης συμβαίνειν δύνασθαι. Τὸ δέ τοι πιθανὸν πρόςγε τὸ βέβαιον τηνικαῦτα ἔςαι, ὡς ὁ ἀριθμὸς τῶν θέσεων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὧν ἐν ἑκάστῃ ἡ προβεβλημένη ἔκβασις χώραν ἔχει, πρὸς ἁπάσας τὰς θέσεις τὰς δυνατάς.

§ 604. Οἷον ζητεῖ τις φέρε τὸν τοῦ πιθανοῦ βαθμόν, πηλίκος ἔσται αὐτῷ, ὥστε δισσοὺς ἅπαξ ἀναῤῥίψαντι κύβους, ὀκτὼ σημεῖα γενέσθαι. Αἱ μὲν οὖν δυναταὶ θέσεις, κύβων δυοῖν ἀναῤῥιπτουμένων, εἰσὶ κατὰ τὰ ἐφεξῆς σημεῖα 2, 3, 4, 5, 6, 7, 8, 9, 10, 11, ἢ 12. Ἀλλὰ γὰρ αἱ τοιαίδε ἕνδεκα θέσεις, οὐκ ἐπίσης ῥαδίως συμβαίνουσι. ἑξαχῶς μὲν γὰρ τὰ ἑπτὰ ἂν συνεκτελεσθείη σημεῖα, ἁπαξαπλῶς δὲ ἡ ἐκ τῶν μονάδων δυάς, καὶ ἡ ἐκ τῶν ἑξάδων δωδεκάς.

§ 605. Διὰ ἀναγωγῆς δὲ, δυοῖν κύβων παντοίως ἀναῤῥιπτουμένων, θέσεις εὑρίσκομεν ἐπίσης εὐχερῶς συμβαινούσας, τὸν ἀριθμὸν ἓξ καὶ τριάκοντα· καὶ γὰρ ἑκάστῳ τῶν ἓξ ἐπιπέδων τῶν ἐπὶ θατέρου τῶν κύβων, ἀντιστοιχεῖν δύναται ἕκαστοι τῶν ἓξ τῶν ἐπὶ θατέρου.

§ 606. Ἐν ταῖσδε δὲ ταῖς παντοίαις ἀναῤῥίψεσι, πέντε ὀκτάσημοι εἰσί. Τοιγαροῦν ὡς 5 πρὸς 36, οὕτω τὸ ζητούμενον πιθανὸν πρὸς τὸ βέβαιον (603). Καὶ ἰσοδύναμον ἄρα τὸ τῆς πειθοῦς ἔσται $\frac{5}{36}$, βεβαιότητος.

§ 607. Τοῦ δὲ ἑτέρου τῶν δύο ἀριθμῶν μὴ παρόντος, τῶν τὸν λόγον, τὸν μεταξὺ τοῦ πιθανοῦ καὶ τοῦ βεβαίου ὑποδηλούντων, τὸ τῆς πιθανότητος πηλίκον, ἐστὶν ἀδιόριστον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 608. Ταῖς τῶν πραγμάτων ἰδέαις προσέχουσι, τοὺς τοιούσδε ἀριθμοὺς ἀνακαλύπτειν, χαλεπὸν τὰ πολλὰ, καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὸν βίον κοινῇ συμβαινόντων. Ἐπὶ τούτων οὖν ἄλλῃ μεθόδῳ χρηστέον, ἥπερ ἂν πηλίκον ἐπὶ τοῦ προκειμένου τὸ πιθανὸν ἀνευρίσκοιμεν, διὰ τῆς ἀνακρίσεως δηλονότι αὐτῶν τῶν ἐκβάσεων.

§ 609. Ὑποθῶμεν δὴ κάλπης ἐντὸς σφαιρίδια εἶναι τὰ μὲν λευκὰ, τὰ δὲ μέλανα· ζητείσθω δὲ τὸ πιθανὸν πηλίκον, τοῦ μέλαν πρῶτον ἐξελέσθαι.

Ὧδε μὲν οὖν τὸ πιθανὸν ἔχει πρὸς τὸ βέβαιον ὡς τῶν ἐν τῇ κάλπῃ μελάνων σφαιριδίων ὁ ἀριθμὸς πρὸς τὸν ἀριθμὸν συμπάντων τῶν ἐν αὐτῇ σφαιριδίων (603). Ἀλλ᾽ οἱ ἀριθμοὶ οὗτοι ἀγνοούμενοι εἰσὶν.

§ 610. Ὀλιγωρουμένης τοιγαροῦν τῆς τούτων διασκέψεως, τὸν ζητούμενον λόγον ἀνακαλύπτομεν, εἰ πρὶν πολλάκις σφαιρίδιον ἓν, ἢ πλείω προεξενήνεκται, κἂν δὲ ταῦτα ἐπανετεθείη τῆς κάλπης ἐντὸς, κἄν τε καὶ μή. Ὁ γάρ τοι ἀριθμὸς ἁπάντων τῶν ἐξαχθέντων, εἴη ἂν πρὸς τὸν ἀριθμὸν τῶν ἐν τούτοις μελάνων, ὡς ἐστὶ τὸ βέβαιον, πρὸς τὸ πιθανὸν ὃ ζητεῖται.

§ 611. Καὶ ἔψοιτ᾽ ἂν σμικρά τις ἀπάτη, τοῦ γεμὴν ἀριθμοῦ τῶν ἐξενηνεγμένων σφαιριδίων, μικρῷ μείζονος ὄντος, τῆγε συμβαινούσῃ ἀπάτῃ κατ᾽ αὐτὴν τὴν πρᾶξιν ἥκιστα προσεκτέον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ γὰρ Μαθηματικῆς ἀποδείξεως δῆλον, ὅτι τοῦ τῶν παρατηρημάτων ἀριθμοῦ ἐπαύξοντος, τὸ εἰς ἀπάτην δέος, ἕτως ἀεὶ καὶ ἀεὶ ἐξαπομειοῦσθαι, ὡς τελευταῖον σχεδὸν εἰς τὸ μηδὲν οἴχεσθαι.

§ 612. Τῇ τοιᾷδε μεθόδῳ χρήσαιτο ἄν τις, τὸ μεταξὺ ζωῆς τε καὶ θανάτου πιθανὸν στήσων. Πίνακος γάρ τινος ἐκ παρατηρημάτων πολλῶν ἐγκαταγραφέντος, πολλοῖς ἂν ζητήμασι προβαλλομένοις οὐκ εἰκῇ ἂν παρέχοιτο ἡ ἐπίλυσις.

§ 613. Τῶν δὲ παρατηρημάτων θέσιν τινα εἰδικωτέραν ὑποτιθέντων· οἷον νόσον ποιάν τινα ὡρισμένην, τὸ συμπέρασμα ἔτι καὶ μᾶλλον διορισθήσεται, καὶ ὅγε τοῦ ζῆν κίνδυνος ἐν τοιᾷδε νόσῳ δυνήσεται ὑποδειχθῆναι.

§ 614. Παραπλησίως δὲ καὶ τὰ τῶν θαλασσίων κινδύνων σαθείη, ἵνα δὴ καὶ τὰ τῆς ἐγγύης χάριν ἀποτιννύμενα ὅρον ἔχοι τὸν προσήκοντα.

§ 615. Ἐὰν ἐκ νηῶν χιλίων, τὸν αὐτὸν πλοῦν διανυσασῶν, δέκα μόναι ἀλώλοντο, τόγε τῆς ἐγγύης ἑκατοστημορίου δίκαιον ἐκτιμᾶσθαι. πλὴν ὅτι τὰ τῆς ἐκτιμήσεως αὐξητέον ἢ μειωτέον, τῷ λόγῳ τῆς αὐτοῦ τοῦ πλοίου καταστάσεως, εἰ τύχοι γινωσκομένη· ὑπόκειται γὰρ τὰς γενομένας παρατηρήσεις πᾶσαν ἁπλῶς νῆα, ὡς ἔτυχεν, ἀφορᾶν. Εἴπερ οὖν αἱ παρατηρήσεις περὶ νῆας ἐλήφθησαν τῇ προκειμένῃ φέρε πα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ραπλησίας, ἀκριβέστερον ἂν ἔτι ἡ ἐκτίμησις τάσσοιτο. Προσθετέον μέντοι καὶ κέρματος ὅσον τῷ τὴν ἐγγύαν ὑφισαμένῳ· ἐμπορίας γὰρ εἶδος καὶ τόδε ἐστίν.

§ 616. Ἡ δὲ μέθοδος τοῦ διὰ παρατηρήσεων τὸ πιθανὸν διορίζειν, οὐκ ἔξω τῆς χρήσεως ἐστίν. Ἐπεὶ μέντοι οὐκ ἀκριβῶς τὰ συμβαίνοντα παρασημειοῦται, καὶ ὀλιγωρεῖν εἰώθασι τὰ πλεῖστα, τῶν μὴ ἰδιαζόντως πρὸς αὐτοὺς ἀναφερομένων οἱ ἄνθρωποι, διὰ τοῦτο δὴ καὶ ἀγροίκῳ τινὶ καὶ ὁλοσχερεστέρᾳ τῇ ἐκτιμήσει τὸ πιθανὸν ὑπολογίζονται. Διὸ καὶ μᾶλλον ἐχέφρονες δοκοῦσιν εἶναι, οἱ πᾶσι μᾶλλον τὸν νοῦν προσέχοντες, καὶ ἧττον ἐπὶ τῶν τοιῶνδε ἐκτιμήσεων τοῦ ἀληθοῦς παραγόμενοι.

§ 617. Ἵνα δὲ μὴ παράδοξόν τινι δόξῃ, ὡς ἐφ᾽ ὡρισμένην ἀναλογίαν ἡμῶν ἀναγόντων, μὴ μόνον τὰ ἐκ τεταγμένης τε καὶ ὅρον ἐχούσης ἐξηρτημένα αἰτίας, ἀλλ᾽ οὐδὲν ἧττον καὶ τῶν ἐνδεχομένων ἕκαστα, ἴστω δή, ὡς οὐδὲν ἄτακτον, οὐδ᾽ αὐτόματον ἁπαντᾷ, οὐδ᾽ εἰκαῖον, τοῖς γε ἐπὶ τῶν πραγμάτων προσέχουσιν. Ἐκεῖνα γὰρ πρὸς μόνην ἡμῶν τὴν ἄγνοιαν ἀναφέρομενα λέγεται· ἄτακτον γὰρ καλοῦμεν, οὗ τὴν τάξιν, παρὰ τὴν εἰς ταὐτὸ συνδρομὴν τῶν διαφερόντων αἰτίων, οὐ συνορῶμεν. Τυχαῖον δὲ, ὃ μὴ ἀπὸ τεταγμένης τε καὶ διωρισμένης ἠρτημένον αἰτίας συμβαίνειν βλέπομεν, καίπερ ἐκ τοιαύτης τῷ ὄντι ἤρτηται (99).

§ 618. Πολλάκις δὲ τὸ ἐν τάξει εἶναι, οὗ βραχέων τινῶν παρατηρουμένων αἰτιατῶν δια-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λανθάνει, ἐὰν πλείονα ἀποτελέσματα ἀνακριθῇ, ἀνακαλύπτεται (611). Τίνες ποτὲ αἰτίαι ἐκ εἰσὶν, ὑφ' ὧν τὸ πέρας τȣ̃ ἀνθρώπων ἤρτηται βίȣ; Ἐν τάξει γεμὴν χωρȣ̃σα τυγχάνει, ἐν ἀριθμῷ μείζονι, τριάκοντα φέρε ἢ τετταράκοντα χιλιάδων ἡ τῶν ἀποιχομένων πρόοδος. Οὐδὲ συγχεῖται ὅλως ἅυτη, ἐὰν ἐκ τῶν οἰκητόρων ἁπάντων, ὅλης χώρας, ἀριθμὸς πρὸς τὸ δοκȣ̃ν αἱρεθῇ, ϗ λοιμȣ̃ ἐπισκήπτοντος· ϗ γὰρ ἂν ϗ εἰ τοιόνδε τι συμβαίη, τὸ τῆς ἀταξίας βραχυχρόνιον ἔσεται. Ἐν δὲ τοῖς λοιποῖς, ἡ πρόοδος ἐπίσης χωρήσει, ὡς εἰ ϗ μηδεμία ταραχὴ τάξεως ἔτυχεν ὅλως συμβαίνȣσα.

§ 619. Περὶ τȣ̃ πιθανȣ̃ δὲ περαιτέρω ἔτι παρατηρητέον, ὡς ἔςιν ȣ̓ πολλάκις διορισθῆναι ȣ̓ δύναται, ἐπειδὰν ὁρῶμεν ἀναγκαίαν ȣ̓̃σαν τὴν ἔκβασιν ἐν ἄλλαις, αἳ ἐπίσης ῥᾷςα συμβαίνειν πεφύκασιν, ἀλλ' ὧν τὸν ἀριθμὸν ἀγνοȣ̃μεν.

§ 620. Ἐξ ἀπροόπτȣ συμβεβηκότος, χίλιοι τῶν πολιτῶν πόλεώς τινος ἐξαπώλοντο. Πιθανὸν ȣ̓̃ν, ϗ τὸν Κλεινίαν, ὡς ἄρα τὴν αὐτὴν ἔχοντα, ἐν τοῖς ἀπολωλόσιν ἀριθμεῖσθαι. Ἀλλὰ τȣ̃το δὴ πρός γε τὸ βέβαιον ἔχει, ὡς τὰ χίλια, πρὸς σύμπαντα τον ἀγνοȣ́μενον τῶν πολιτῶν ἀριθμόν.

§ 621. Ἐὰν ἡ περὶ ἧς ὁ λόγος ἔκβασις, ἐν ἄλλαις ᾖ προσλογιζομένη, αἱ τῶν ἐπίσης ἐνδεχομένων ἡμῖν εἰσὶ, τȣ́των δὲ ὁ ἀριθμὸς πέρας ȣ̓κ ἔχων, πιθανὸν ȣ̓δὲν παρέξαι λαβεῖν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 622. Ἐὰν δὲ τοῦτο ἡμῖν ᾖ τῶν ἀγνοουμένων, πότερον ὁ ἀριθμὸς πέρας ἐστὶν ἔχων, ἢ μή. ἀγνοήσομεν καὶ ἔτι πιθανὸν ἐνταῦθα ἐγχωρεῖ, ἢ μή.

§ 623. Οἱ τῶν πλανητῶν εἰσάγοντες τοὺς οἰκήτορας, ἐκ τῶν κοινῇ ἐπιθεωρουμένων Γῇ τε καὶ πλάνησι τόδε εἰσβάλλουσιν, ἅττα δήπου, οὐδὲν πλέον ἢ δυνατὸν εἶναι ἀποδείκνυσι τὸ λεγόμενον. Τὸ δέ τοι πιθανὸν τοῦ τοὺς τοιούσδε οἰκήτορας ὑφεστάναι, ἐστὶ πρὸς τὸ βέβαιον, ὡς ἡ τῶν πλανητῶν χρῆσις αὕτη, τουτέστιν ὡς ἡ μονάς, πρὸς τὸν ἀριθμὸν τῶν χρήσεων, πρὸς ἃς ὁ Θεὸς ἀφορίσαι τοὺς πλάνητας ἔχε. Τὶς δ' ἂν διατείναιτο, τὸν ἀριθμὸν τόνδε μὴ εἶναι ἄπειρον;

§ 624. Τὸ πιθανὸν ἐνίοτε, καὶ τοὺς λόγους, οἷς τὸ πρᾶγμα κατασκευάζεται, πέφυκεν ἀφορᾶν, ὡς εἴρηται (600). Ἀλλὰ καὶ τοῦτο ἐκ ἄλλως περ ἢ τὸ περὶ τὰς ἐκβάσεις ἀνακαλύπτεσθαι δύναται.

Ἐξεταστέον ποσάκις, ἐπί τινος ἀριθμοῦ συμβεβηκότων, ἐν ᾧ ὁ λόγος οὗτος παραλαμβάνεται, ἀπάτη ἡμᾶς οὐ περιΐστησι· καὶ ὁ ἀριθμὸς οὗτος, ἐστὶ πρὸς τὸν ἀριθμὸν τῶν συμβεβηκότων, ὡς τὸ πιθανὸν τοῦ λόγου πρὸς τὸ βέβαιον.

§ 625. Ἐὰν ἑκατοντάκις ἀνδρὸς ἀκούσωμαι ἅπερ ἔτυχεν ἑωρακὸς ἱστοροῦντος· ὁ δὲ ἐννενηκοντάκις μὲν ἀληθεύειν εὕρηται, δεκάκις δὲ μόνον ψευσάμενος ἐπελήλεγκται, ὁπότε αὖθις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γένοιτό τι ἐκδιηγέμενος, μαρτυρίαν ἔμοιγε παρέξεται ὁ τοιῦτος, ἧς τὸ πιθανὸν $\frac{9}{10}$. ϗ ἤδε ἡ πιθανολογία τὸ πειθῦς μέτρον παρίςησι, τῦ τῷ τοιῷδε μόνῳ ἐπιςηριζομένε ἐπιχειρήματι.

§ 625. Ἀεὶ τὸ πιθανὸν τῦ βεβαίε διακριτέον, ὥς περ γὰρ ἐνίοτε συμβαῖνον ὁρῶμεν, τὸ μὴ πάνυ τι πιθανὸν, ὕτω τοὶ ϗ τὸ λίαν πιθανὸν, πολλάκις ἠπάτησεν.

§ 627. Ἀλλ' ὕτως ἔχει τὸ πιθανὸν ἐπαύξεσθαι, ὡς καὶ ἀντὶ βεβαίε χεδὸν τίθεσθαι. Κλέωνα φέρε Διοκλῆς ἰχνηλατεῖ κρυπταζόμενον· ἐς πόλιν ἕν ἀπελθὼν ἐν ᾗ ἐκεῖνος λανθάνων ἦν, καὶ εἰς τὸν οἶκον εἰσιὼν, ἐπ' εὐθείας χωρεῖ τῆς οἰκίας, ἔνθα Κλέωνα εὕρατο. Φημὶ ὖν δῆλον προϋπάρξαι τῷ Διοκλεῖ τὸ κρησφύγετον. Τὶς γὰρ ἐνδοιάσει; Ἀλλὰ γὰρ ὐδὲν ἀλλ' ἢ τὸ πιθανὸν ἐπὶ τῦ συμβάντος ἐςὶν ἐν ἀκρότητι, τὐναντίον γὰρ ἔχει τινὰ πειθῶ, κἂν ἐλαχίςην, ἧς ὁ λόγος πρὸς τὸ βέβαιον, ὡς ὁ τῆς μονάδος ἐςὶ πρὸς τὸν ἀριθμὸν ἁπαξαπάντων τῶν τόπων, ἐν οἷς ὁ Κλέων λανθάνειν ἠδύνατο.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

## Περὶ τῦ Πιθανῦ τῦ ἐν Συνθέσει.

§ 628. Τὸ πιθανὸν ἐν συνθέσει εἶναι φαμὲν, καθ' ὃ ἀπλέςερ' ἄττα πιθανολογύμενα φέρεται ἅμα θεωρητέα (602). συμβαίνει δὲ τῦτο πυκνὰ μὲν, διαφόρως δέ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 629. Α'. Ἐκ δυεῖν, ἢ πλειόνων ἐκβάσεων, ὧν ἑκάςης τὸ πιθανὸν γινώσκεται, ζητεῖται, ὅση ἡ πιθανότης τοῦ ἐν ὡρισμένῃ τινὶ ὑποθέσει, τῶν δυεῖν τὴν ἑτέραν, ἢ μίαν τινὰ τῶν ἁπασῶν, εἰ πλείους τύχωσιν οὖσαι, συμβήσεσθαι.

§ 630. Λύεται τὸ προτεθὲν ζήτημα, ἀθροίσει πασῶν τῶν δεδομένων πιθανοτήτων· τὸ γὰρ κεφάλαιον παρέχεται τὸ πιθανὸν ὃ ζητεῖται.

Ἀλλὰ καὶ ἐπ' εὐθείας ἔχει ἐπιλυθῆναι, ὡς ἐπὶ τοῦ ἁπλουςέρου πιθανῶς ἔχοντος.

§ 631. Ἐπὶ τοῦ ἐν ἀριθ. 592 προτεθέντος παραδείγματος, εἴτις τὸ πιθανὸν ζητοίη, τοῦ Βέλγην εἶναι, ἢ Γερμανὸν τὸν τῆς νηὸς ἀποβάντα, τὸ ἐκ τῶν Βελγῶν τε καὶ Γερμανῶν ἄθροισμα, ἔχει πρὸς τὸν ἀριθμὸν συμπάντων τῶν ἐπιβατῶν, τουτέςιν 88 πρὸς 100, ὡς 22 πρὸς 25· ἤτοι ὡς τὸ πιθανὸν πρὸς τὸ βέβαιον (603). Καὶ ἔςιν ἄρα τὸ πιθανὸν ἐνταῦθα $\frac{22}{25}$, ἴσον τοῖς πιθανοῖς ἰδίᾳ $\frac{21}{25}$ καὶ $\frac{1}{25}$ προσαθροισθεῖσι (594. 603).

Ἐπὶ δυοῖν κύβων ἀναῤῥιπτουμένων, τὰ μὲν ὀκτὼ σημεῖα πενταχῶς, τὰ δ' ἐννέα τετραχῶς, ληφθῆναι δύναται. Τὸ πιθανὸν ἄρα τοῦ ἤτοι ὀκτὼ, ἢ ἐννέα βαλεῖν, ἐςὶν $\frac{9}{36}$, τουτέςιν $\frac{1}{4}$ (603. 605. 606).

§ 632. Β'. Τοῦ ἐπὶ δυσὶν ἐκβάσεων πιθανοῦ, ἑκατέρου δοθέντος, τὸ θάτερον, ἐν ὑποθέσεσι διακεκριμέναις συμβαῖνον ζητεῖται· οἷον ἐπὶ δυοῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κύβων, τὸ πιθανὸν ζητεῖται, τȣ̃ τινὰ πρῶτον μὲν ὀκτὼ βαλεῖν, δεύτερον δὲ ἐννέα.

Τὸ μὲν 5: 36. τὸ δὲ 4: 36. ὁ β΄. ἔχει $\frac{1}{9}$ πιθανότητος, ὁ α΄. $\frac{1}{7}$ καὶ ἑπτημορίȣ ἔτι $\frac{1}{7}$.

§ 633. Παραπλήσιον δὲ ἔςαι, καὶ ἐὰν ὑποτεθῇ ὅτι Κλεινίας χιλίας ὑπέςη ἀποτίσει δραχμὰς, τȣ̃ Καλλίȣ, ἤ τȣ̃ Χαβρύȣ, ὧν αἱ ἡλικίαι διδόμεναι εἰσὶν, ἐν τοῖς ζῶσιν ἀριθμȣμένȣ· ζητεῖται γὰρ ὅσον ἐςὶ πιθανὸν, ὅτι τὰς χιλίας ὁ Κλεινίας ἐκτίσει. Διοριςέον ȣ̃ν ἐν μέρει, περί τε Καλλίȣ χωρὶς καὶ Χαβρύȣ, ὅσον πιθανὸν ἑκάτερον ἰδίᾳ, μετὰ τὴν δεκαετίαν περιέσεσθαι; εἶτα δὲ τὸν ὑπολογισμὸν ποιητέον. Τὴν Μέθοδον ἐν τῇ τȣ̃ προτέρȣ παραδείγματος (634) ἐπιλύσει ἀναπτύξω.

§ 634. Τὸ τῆς πρώτης βολῆς πιθανὸν, ἐςὶν $\frac{5}{36}$ (606) τὸ δὲ τῆς δευτέρας $\frac{4}{36}$, ἤτοι $\frac{1}{9}$, ὅπερ ὡσαύτως ἀνακαλύπτεται (603).

Ἐλλείπει δὲ τὸ κατὰ τὴν α΄. βολὴν πιθανὸν τȣ̃ βεβαίȣ, (ὃ μονάδι ἐνταῦθα ὑποσημαίνεται), $\frac{31}{36}$ τȣτέςι τὸ τȣ̃ ἐναντίȣ πιθανὸν, τοσȣ̃τον.

Τόδε τοίνυν τὸ πιθανὸν $\frac{5}{36}$, τὸ κατὰ τὴν πρώτην βολὴν ἐπαύξειν δέον, τὸ δέτοι τȣτȣ ἐναντίον ἀπομεῖον, τῆς δευτέρας βολῆς ἐπιτρεπομένης. Ταύτης δὴ τὸ πιθανὸν ἐςὶν $\frac{1}{9}$, ὃ τῷ πρώτῳ ὁλοκλήρως προςεθὲν, πολὺ ἂν αὐτὸ ἐπαυξήσειε. Παρορᾶται γὰρ ὅλως ἡ δευτέρα βολὴ, ὡς ἂν ἅπαξ ὀκτὼ τὰ σημεῖα γένηται τῶν κύβων ἀναῤῥιφθέντων. Ἡ ἄρα αὔξησις ȣ̓χὶ $\frac{1}{9}$ τῆς ὁλοσχερȣ̃ς ἔςαι βεβαιότητος, ἀλλ᾽ ἡ μόνον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

$\frac{1}{9}$ τῦ πιθανῦ, ὅτι καὶ τῆς δευτέρας βολῆς ἔσαι χρεία, ὃ δὴ ἴσον ἐςὶ τῷ πιθανῷ τῦ ἐναντίυ, τῷ κατὰ τὴν πρώτην βολὴν, τῷ $\frac{31}{36}$ δύναμιν ἔχοντι. Τύτυ τὸ ἐνατημόριον δύναται $\frac{31}{324}$ ὧν συναπτομένων τοῖς $\frac{5}{36}$, κεφάλαιον $\frac{19}{81}$. Τὸν δ' ἀριθμὸν αὐτὸν τῦτον διὰ τῦ ἐφεξῆς κανόνος, ᾧπερ ἐν παραπλησίαις ταῖς περιςάσεσιν ἀεὶ χρηςέον, μὴ ἐπὶ τῶν δυεῖν ὑποθέσεων συςελλομένῳ, ἀνευρίσκειν ῥᾷςα δυνάμεθα.

§ 635. Παραπλήρωμα τῦ πιθανῦ καλῦμεν, τὴν τῦ πιθανῦ ἔλλειψιν ἀπὸ τῆς μονάδος, δι' ἧς τὸ βέβαιον ὑποσημαίνεται.

§ 636. Κανών. Ἐὰν ἐπιπολλαπλασιασθῇ τὰ παραπληρώματα ἁπάντων τῶν πιθανῶν, εἴτε δύο εἴτε καὶ πλείω ταῦτα διδόμενα ᾖ, τὸ τῦ παραγομένου παραπλήρωμα, τὴν ζητυμένην παρέξεται πιθανότητα.

§ 637. Ἐπὶ τῦ ἐν ἀριθ. 633 παραδείγματος, θῶμεν δὴ τὸν μὲν Καλλίαν, ἔτος ἄγειν 28, τὸν δὲ Χαβρύαν 47. Τὸ γῦν πιθανὸν τῦ τὸν πρῶτον μετὰ δεκαετίαν ἔτι περιέσεσθαι, ἐςὶ $\frac{17}{20}$, τοῖς δὲ τὸν δεύτερον ἐπιζήσειν ἡ πιθανότης $\frac{7}{9}$ ἐπὶ ἔτεσι δέκα, παραπληρώματα δὲ εἰσὶ $\frac{3}{20}$, καὶ $\frac{2}{9}$. τὸ δὲ παραγόμενον $\frac{1}{30}$, ὗ παραπλήρωμα ἐςὶν $\frac{29}{30}$, ὃ τὸ ζητύμενον πιθανὸν ἡλίκον παρίςησιν. ἄρα 29 πρὸς 30, ὡς τὸ πι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θανὸν ὅτι Κλεινίας ἀποτίσει, πρὸς τὸ βίβαιον· ἔνθεντοι ᾗ πλέον τι Κλεινίας ὑπέςη, ἢ ὅπερ ἄνευ συνθήκης τῆς ἐπ' ἐδενὶ, ἁπλῶς ἔτως ὑπέχετο, μετὰ δεκαετίαν, ἦ μὴν δραχμὰς ἐκτίσειν ἐννακοσίας ἑξήκοντα.

§ 638. Παραπλησίως ἦν ἂν ὁ ὑπολογισμὸς μεθοδευτέος, ᾗ εἰ ἄμφω ὁμήλικες ὄντες ἐτύγχανον, ἢ εἴπερ ἐν τῇ τῶν κύβων ἀναῤῥίψει, ἐπιχειρήσειέ τις πρῶτον, ἢ ᾗ δεύτερον ἀναῤῥίψας, σημεῖα λαβεῖν ὀκτὼ, δεήσει γὰρ τὸν κανόνα ταῖς ἰσοσθενέσι πιθανότησι προσαρμόσαι.

§ 639. Φυλακτέον δὲ ἐν τοῖς τοιέτοις, τε τὰ ἀνίσως πιθανὰ, ὡς ἂν ἐπίσης τοιαῦτα ἐκδέχεσθαι. συμβαίνει δ' ἂν τὸ τοιὅτον, ἐὰν κατὰ τὴν συνάφειαν τῶν δύο πιθανοτήτων, ἡ ἑτέρα ἀμείβοιτο.

§ 640. Θῶμεν ἐπὶ τε ἐν Ἀριθ. 592 παραδείγματος ἀποβαινόντων τῆς νεὼς δυοῖν ἀνθρώπων, τὸ πιθανὸν ζητεῖσθαι τε θάτερον εἶναι Βέλγην. Τὸ μὲν ὖν πιθανὸν πρός γε τὸν πρῶτον ἀποβαίνοντα ἐςὶν $\frac{84}{100}$ (603) τετέςιν $\frac{21}{25}$. Πρός γε μὴν τον δεύτερον ἐκέτι ἐςὶν ἡ αὐτὴ πιθανότης, ἐν ᾧ γὰρ ἔτος ἀποβαίνει, περίεισι μόνον ἐν τῇ νηὶ 99. Καὶ εἰ μὴ ἐν αὐτοῖς ἅπαντες οἱ Βέλγαι εἰσὶ, τῷ δεύτερον ἀποβαίνοντι ἐ προσέχομεν. Τὸ ἄρα πιθανὸν ἔςαι ὡς $\frac{84}{99}$ (603)· κἀν ταύταις ἄρα ταῖς πιθανότησι $\frac{21}{25}$ ᾗ $\frac{84}{99}$, τὸν ὑπολογισμὸν, κατὰ τὸν τεθέντα κανόνα (636), ποιητέον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 641. Γ. Ποικίλα ζητήματα, τῶν ἔχατον ἤδη ἀναπτυχθέντων καί τοι διαφέροντα, πρὸς αὐτὰ μέν τοι ἔχει ἐπαναχθῆναι, ὡς μηδὲν πρὸς τὴν τέτων ἐπίλυσιν καινὸν ἐπιζητεῖσθαι, παρὰ τὴν παραλλαγὴν τῆς ἐκθέσεως.

§ 642. Περὶ τε Καλλίε καὶ τε Χαβρύε, τῶν ἐν ἀριθ. 635, 637, ζητεῖται πηλίκον τὸ πιθανὸν ἀμφοτέρες ἐντὸς τῆς δεκαετίας θνήξεσθαι· καὶ συμπίπτει ἓν τόδε τὸ ζήτημα, τῷ ἤδη ἀνωτέρω διαληφθέντι. Τὸ γὰρ ἐνταῦθα ζητέμενον πιθανὸν, ἰσοδύναμόν ἐςὶ τῷ ἀντικειμένῳ τε ἐν ἀριθμ. 637 ζητεμένε· καὶ ἔςιν ἡ τῆς ἐκεῖσε ἀνιχνευομένης πιθανότητος, ἀπὸ τε βεβαίε ἔλλειψις.

§ 643. Ὡσαύτως καὶ εἰ ζητοῖτο τὸ πιθανὸν περὶ ἀμφοτέρων, ὡς μετὰ τὴν δεκαετίαν περιεσομένων· τετὶ γὰρ ἰσόμετρον ἐςὶ τῇ πιθανότητι τε ἐναντίε, ἤ γεν τῇ ἀπὸ τε βεβαίε ἐλλείψει, τε κατάγε τὸν λόγον τε τοιεδε ζητήματος, τε τὸν ἕτερον ἐντὸς τε τεταγμένε χρόνε θνήξεσθαι μέλλειν, ὅπερ ἐπὶ τὰ ἀναπτυχθέντα ἀνωτέρω ἀνάγεται (632. κξ.)

§ 644. Ἀλλὰ τάγε τοιαῦτα ἐπ᾽ εὐθείας εὐπετέςερον ἐςὶν ἐπιχειρεῖν ἐπιλύεσθαι· ἀνήκει δὲ ταῦτα πρὸς ἐκεῖνα περὶ ὧν κατωτέρω πραγματευσόμεθα (651. κξ.)

§ 64.. Δ. Τῇ συνδρομῇ εἰς ταυτὸ πολλῶν τε καὶ παντοίων πιθανολογιῶν, ἐπαύξει τὸ πιθανόν· τὰ μέν τοι πιθανολογέμενα ε κατὰ ψιλὴν συναπτέα ἄθροισιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 646. Οἷον λόγος προβάλλεται, ὃ τὸ πιθανὸν $\frac{3}{4}$. Ὅθεν τὸ ἔτι ἀβέβαιον ἐν αὐτῷ $\frac{1}{4}$. Τό δὲ ἀπομειωθήσεται μὲν ἡμῖν, δευτέρας πιθανολογίας προςεθείσης, ὃ μέντοι ἄρδην οἰχήσεται· ἔργον γὰρ τόδε τῆς πληρεςάτης ἐςὶν ἀποδείξεως. Ἐὰν τοίνυν, ἡ δευτέρα τῶν πιθανολογιῶν θένῃ, ὅσα $\frac{2}{3}$, ἀφελεῖται αὕτη τὰ δύο τριτημόρια τῆς ἀβεβαιότητος, τȣτέςι τὰ δύο τριτημόρια τȣ̃ τεταρτημορίȣ, ἤτοι $\frac{2}{12}$, ἢ $\frac{1}{6}$ τȣ̃ ὅλȣ. ταῦτα προςεθέντα τῇ πρώτῃ πιθανολογίᾳ, παρέξαι δὴ τὸ ζητȣ́μενον πιθανὸν $\frac{11}{12}$.

§ 647. Ἡ συλλογιςικὴ αὕτη ἔφοδος συμπίπτει τῇ ἐν ἀριθ. 634, καὶ τῷ κανόνι δὲ (636) τῷ κατὰ τὴν ἐκεῖσε ὑπόθεσιν ὑπαρχȣ̃ντι, κἀνταῦθα τὸ ζητȣ́μενον προσεφαρμόζειν ἐςὶν, ἡνίκα δύο, ἢ πλείȣς πιθανολογίαι εἰς ταὐτὸ συντρέχȣσι.

§ 648. Πρόςδε ἐφαρμογὴν τȣ̃δε τȣ̃ κανόνος ἐξεταςέον, εἰ μὴ τῇ συνδρομῇ τῆς ἑτέρας, ἡ ἑτέρα τῶν πιθανολογιῶν ἐξαμείβεται· ὃ συμβαίνει, ἐπειδὰν τῶν εἰς ταὐτὸ συνιȣσῶν περιςάσεων, ἅμα ἐπιθεωρȣμένων, προσαρμόζειν οἷόντε τὸν κανόνα τὸν ἐν Ἀριθ. 605.

§ 649. Ὄχλȣ συςάντος μεταξύ τις ξίφει ἀνῄρηται. Δῆλον δὲ ἄλλοθεν ἓξ μόνȣς γεγονέναι τȣ̀ς τὰ ξίφη σπάσαντας, ὧν εἷς καὶ Μέμνων ἦν. Τὸ πιθανὸν ȣ̓̃ν τȣ̃ τȣ̃τον εἶναι τὸν ἀνδροφόνον ἐνταῦθα ἐςὶν $\frac{1}{6}$ (603).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἔτι δῆλον, ὡς ὁ φονεὺς ἦν ϗ μελαγκόμας, τὸ δέ τοι, δέκα ἦσαν ἐν τῷ ὄχλῳ οἷς συνέβαινεν. ἦν δ' αὖθις ϗ τέτοις ἐναρίθμιος ὁ Μέμνων. Πάρεςιν ἒν καινόν τι τῆ πιθανῆ μέτρον, ὃ ϑένει $\frac{1}{10}$, ϗ τῷ πρώτῳ εἰς ταυτὸ συντρέχει. Αἱ δὲ πιθανότητες συναπτόμεναι ἰσχύεσιν $\frac{1}{4}$ (647. 656).

§ 650. Καλῶς τὰ τῆ πιθανῆ διήτηται· ὡς ὁ Μέμνων τὸν φόνον ἐργάσαιτο, εἰ μηδὲν ἕτερον παρὰ τὰ τεθέντα φανερὸν εἴη. Τῆς μέν τοι γνώσεως αὐξομένης, ϗ τὸ πιθανὸν αὔξεται, ἢ μειῆται, ϗ ὅλως μεταβάλλει. Εἰ μὲν ἒν ἄμφω τὰ ἐπισημειωθέντα συναφθῆναί τε δυνηθείη, ϗ διορισθῆναι, ϗ ἴσοι οἱ ἐν οἷς αὐτὰ συμβαίνεσιν ἄνθρωποι εἰσὶ, τέτες δεήσειεν ἂν μόνες εἰς σκέψιν εἰσαγαγεῖν· εἰ γὰρ ἅπαντες ὧν προτέρων ἐμνήσθημεν μελαγκόμαι ἐτύγχανον, τὸ πιθανὸν ἒκ ἂν $\frac{1}{4}$, ἀλλ' $\frac{1}{6}$ τιμηθείη, τό τε δεύτερον τῶν σημείων, ἦν ἂν εἰς ἔλεγχον περιττόν. Ἐὰν δὲ ἐν μόνῳ ἄμφω, συνδραμόντα ἐπαληθεύοι τῷ Μέμνονι, ἒκέτι πιθανόν τι πάρεςι ἔχειν, ἀλλ' αὐτὸ τὸ βέβαιον.

§ 651. Ε΄. Ἄχρι τέτε τῶν πιθανῶν ἀνεκρίναμεν, τὰ ἐκ συνδρομῆς προσηυξημένα· νῦν ἒν διαληπτέον ϗ περὶ τῆς τέτων ὑπομειώσεως. Συμβαίνει δὴ τῆτο ἐπειδὰν ὁ τῆ πιθανῆ θεμέλιος ἐςὶ πιθανῶς ἔχων· ὑπομειῆται γὰρ τὸ πιθανὸν, κατὰ λόγον τῆς πιθανότητος τῆ θεμελίε ᾧ βέβηκε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 652. Ἐὰν ὖν ἡ τῆς ἐκβάσεως πιθανότης ἦ $\frac{1}{2}$, τὸ δέτοι πιθανὸν ἦ ὡς $\frac{1}{3}$, τῦ ἐκείνην ἀληθεύειν ἂν, τότε δὴ ἡ τῆς ἐκβάσεως πιθανότης ἰσοςάσιος ἔςαι τῷ τριτημορίῳ τῦ ἡμίσεως, ἤτοι $\frac{1}{6}$ τῆς βεβαιότητος· ἐλέγχεται δὲ πολλαπλασιασμῷ ἀμφοῖν τῶν πιθανοτήτων.

§ 653. Ἔχει δὲ χώραν ὁ παρὼν κανὼν ὁσάκις, ἔκβασίς τις πιθανῶς ἔχυσα, ἐξ ἐκβάσεως ἄλλης πιθανῶς ἐχύσης ἐξήρτηται, εἴτε τοι δύο, εἴτε καὶ πλείυς διδόμεναι τύχωσι.

§ 654. Συνέθετο Μενεκλῆς μετὰ ἐννέα ἑτέρων νηὸς ἐπιβῆναι· οἵγε μὴν ἐπιβάντες μόνοι ὑπῆρξαν ἑπτά. Ἡ μὲν ὖν ναῦς τῦ λιμένος ἀναγομένη, ἐπιβάτας ἦν περιέχυσα διακοσίυς τὺς σύμπαντας. τύτων ἔπειτα πεντήκοντα καὶ ἑκατὸν, σὺν ἑτέροις διακοσίοις καὶ πεντήκοντα, μάχην συνάψαι ἐξεπέμφθησαν. Ἐκπεμφθέντες δὲ οἱ τετρακόσιοι πάντες ἀπώλοντο, πλὴν τριάκοντα. Ζητεῖται ὖν ὅσον ἂν τὸ πιθανὸν εἴη, τῦ καὶ τὸν Μενεκλῆν αὐτὸν μετὰ τὸν ἀπολωλότων κατὰ τὴν μάχην πεσεῖν.

α'. Τὸ πιθανὸν, τῦ τὸν Μενεκλῆν τῆς νηὸς ἐπιβῆναι ἐςὶν $\frac{7}{10}$.

β'. Καὶ ἐπιβάντα ἐπὶ τὴν μάχην καὶ αὐτὸν τοῖς ἄλλοις συνεξελθεῖν ὡς $\frac{3}{4}$.

γ'. Τὸ δὲ καὶ μαχόμενον πεσεῖν, ὡς $\frac{37}{40}$ (603).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ τοίνυν ὑπὸ τῶν τριῶν πιθανῶν τετωνὶ παραγόμενον, δίδωσι τὸ ζητέμενον πιθανὸν (652. 653)· καὶ ἐςὶν ἄρα $\frac{777}{1000}$, ὅτι ἔγγιςα $\frac{27}{35}$.

§ 655. Παραπλήσιον δὲ, καὶ τὸ τῶν ἐπὶ κέρδει ἐγγυήσεων ἀσφαλείας χάριν τῶν ἐμπορευομένων, ἐςὶ ζήτημα· καὶ αὐτὸ τὲς ποικίλες τε ϗ διαφέροντας τῆς αὐτῆς νηὸς πλόες ἀφορᾷ.

§ 656. Ναῦς τις εἰς λιμένα σπεύδει κατάγεσθαι, ϗ ἀπὸ τεδε ἐπὶ λιμένα δεύτερον αὖθις καταῖραι, ὀφείλει, εἶτα τέως πρὸς τὰ οἰκεῖα ἐπαναπλεῦσαι. Δοθέντων ἓν τῶν ἐπὶ ἑκάςε πλε πιθανῶν (615), ζητεῖται ἡ περὶ τε ἀνάπλε τῆς νηὸς πιθανότης. ϗ δῆλον ἄρα, ὅτι πολλαπλασιάσαι χρὴ, τὸ τριπλεν τε τριπλε πλε πιθανὸν, ἰδίᾳ ἑκάςε θεωρεμένε (652. 655).

§ 657. Τῇ δ' αὐτῇ μεθόδῳ διορίζεται, ϗ ἡ τῶν ἐκβάσεων συνδρομὴ, τῶν κατὰ τὸ αὐτὸ τε χρόνε συμβαινεσῶν.

§ 658. Ἐπὶ τε ἐν ἀριθ. 635 καὶ 637 παραδείγματος, τέτταρ' ἄττα ζητεῖσθαι ἂν ἔχοι, κατάγε τὴν διαφορὰν τῶν εἰς ταὐτὸ συνιεσῶν περιςάσεων.

α΄. Οἱ ῥηθέντες Καλλίας τε καὶ Χαβρύας, ἆρ' ἄμφω μετὰ τὴν δεκαετίαν ἐν τοῖς ζῶσι περιέσονται;

β΄. Μὴ ἄρα μόνος περιέσεται ὁ Καλλίας;

γ΄. Ἀλλὰ μὴ μόνος ὁ Χαβρύας ἀνάπαλιν;

δ΄. Μὴ ἄμφω ἐντὸς τε εἰρημένε θνήξονται χρόνε;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐξ ἀνθρώπων εἴκοσι τῷ Καλλίᾳ ὁμηλίκων, τρεῖς ἐντὸς ἐνιαυτῶν θνήσκουσι δέκα, ἑπτακαίδεκα δὲ περίεισι ζῶντες. Οὐκοῦν τὸ μὲν αὐτὸν ἐπιζήσειν πιθανὸν ἐστὶν ὡς $\frac{17}{20}$· τὸ δὲ μεταξὺ θνήξεσθαι ὡς $\frac{3}{20}$ (605).

Παραπλησίως ἐλέγχεται κἀπὶ τοῦ Χαβρύου, τὸ μὲν πιθανὸν εἶναι, ὡς $\frac{7}{9}$ τὸ ἐπιζήσειν, τὸ δὲ ὡς $\frac{2}{9}$ τὸ θνήξεσθαι (637. 605).

Καὶ ἔστι τοίνυν πρὸς μὲν τὸ α΄. τῶν ζητουμένων ἀπαντῆσαι, ἐπιπολλαπλασιάσαντας δι' ἀλλήλων, τὰς τοῦ ἐπιζήσειν ἀμφοτέρους πιθανότητας, $\frac{17}{20}$ διὰ $\frac{7}{9}$· ταύτῃ γὰρ τὸ πιθανὸν ἥκει εἰς τὸ $\frac{119}{180}$ ὅτι ἔγγιστα $\frac{2}{3}$ (652).

Πρὸς δὲ τὸ β΄, πολλαπλασιάσαντες τὸ πιθανὸν τοῦ τὸν Καλλίαν ἐπιζήσειν, διὰ τοῦ πιθανοῦ τοῦ τὸν Χαβρύαν θνήξεσθαι $\frac{17}{20}$ διὰ $\frac{2}{9}$. ἔσται γὰρ $\frac{17}{90}$· ὡς ἔγγιστα $\frac{3}{16}$ (652).

Πρὸς δὲ τὸ γ΄. πολλαπλασιάσαντες $\frac{7}{9}$ διὰ $\frac{3}{20}$, καὶ γὰρ ἔσται $\frac{7}{60}$, ὡς ἔγγιστα $\frac{2}{17}$ (652).

Πρὸς δὲ τὸ δ΄. τελευταῖον, τὸ πιθανὸν τοῦ θανάτου ἑκατέρου πολλαπλασιαστέον ἐπαλλήλας $\frac{3}{20}$ καὶ $\frac{2}{9}$, ἔσται γὰρ δὴ $\frac{1}{30}$ (652).

§ 659. Οἱᾳδηποτοῦν προτάσει συνθέτῳ, τῇ ἐξ ἑτέρων ἰδίᾳ πιθανῶν συγκροτουμένῃ, τὸν αὐτὸν τουτονὶ κανόνα προσεφαρμοστέον (652).

§ 660. Διὰ δὲ τοῦ αὐτοῦ κανόνος τούτου, καὶ τὸ πιθανὸν τοῦ λόγου προσδιορίζεται, τοῦ ἐξ ἑτέρου λόγου καὶ αὐτοῦ πιθανῶς ἔχοντος, ἐπιφερομένου· οἷον εἰ φαίη Ἄνυτος, παρὰ Μελίτου ἀκηκοέναι, τῶν δὲ ἑκατέρου τὸ πιστὸν, ὕποπτον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 661. Δῆλον δὲ, ὅτι τῇ τοιᾷδε συνδρομῇ τὰ πιθανὰ, ὡς λίαν ὑφίεται. Δύο γὰρ, ὧν ἑκάτερον ἐν μέρει ἰσοςάσιον ἦ, συναπτόμενα, ἐδὲ ὑπόνοιάν τινα συναποτελεσιν (652, 596.)

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

## Περὶ τῶν Ἐνςατικῶν Ἀντιθέσεων, καὶ τῶν Ἀντικειμένων Πιθανοτήτων.

§ 662. Εἰς θῆραν τῆς τῶν ὄντων γνώσεως, ἐκ ἂν ἄλις ἔχοι τὰ ἀληθές τι προϊσχόμενα μόνον ἀνακρίνειν, δεῖ δ᾽ ἐπ᾽ αὐτοῖς κἀκεῖνα προσεξετάζειν, ἅττα εἴωθεν ἀντιπροβάλλεσθαι.

§ 663. Τῇ μὲν ἐν Μαθηματικῇ Ἐναργείᾳ, τὸ ἀντιπίπτον δήπε ἐδὲν, καὶ ἐδὲν δέος ἀπάτης, κατὰ τὴν ἁπλῆν ὑφέρπει καὶ ἄμεσον πρόσληψιν (458).

§ 664. Οὐδὲν δὲ ἧττον κἀπὶ τῶν μᾶλλον συνθέτων, ἐν οἷς πλείες αἱ ἐγχωρεσαι κρίσεις, πόῤῥω ὑπονοίας ἀπάτης γινόμεθα, ἐπειδὰν μιᾷ νε προσβολῇ, τάς τε κρίσεις πάσας ὁρῶμεν, καὶ τὴν, πρὸς ἁπλεςάτην τινὰ ἀρχὴν, ἀναφοράν τε καὶ ἀλληλεχίαν τῆς περὶ ἧς ὁ λόγος προτάσεως (460).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 665. Ὑφέρπει γὰρ ἡ ἀπάτη ὀλιγωρουμένης τῆς ἐναργείας (471), ὅπερ διὰ τὸ τῆς ἀνθρώπων ἀσθενὲς διανοίας, ἐπὶ τῶν μᾶλλον συνθέτων συμβαίη ἂν (472, 474)· τίθεται γὰρ ὡς ἐναργὲς τηνικαῦτα τὸ μὴ τοιοῦτον· ὅτε δὴ καὶ τῶν ἐνστάσεων ἀφορμὴ γίνεται.

§ 666. Ἐὰν οὖν τοῦ προκειμένου ἐναργῶς ἐμοὶ δοκοῦντος ἀποδεδεῖχθαι, προβάλλεταί τινα ἀντιπίπτοντα, καὶ αὐτὰ τὸ ἐναργὲς οὐδέν τοι μεῖον προΐσχεσθαι ἔοικεν, ὑπενδοιάζειν τότε δίκαιον. Ἀπάτη γάρ τις πάντως ὑπολανθάνει, κἂν ἐξ ὁποτέρου τῶν μερῶν, ἔτι ἄδηλον.

§ 667. Ἐπειδὰν ἐκ προτάσεως προκειμένης, ἐναργῶς τι ἄτοπον ἐπιφέρεται, ἔλεγχος ἐντεῦθεν ἡμῖν ἀπαντᾷ πόῤῥω ἀμφιβολίας, τοῦ τὴν πρότασιν ψεύδεσθαι. Ἐὰν δὲ καὶ ἡ πρότασις αὐτὴ, λόγῳ τινὶ βέβηκεν ἄλλως, ἐναργῶς ἀληθεύοντι, ὑπενδοιάζειν τότε ἀνάγκη πᾶσα, ὡς εἴρηται (666), καὶ ἀπορεῖν. Διὸ μέμψαιτ᾽ ἄν τις ἐπίσης, τούς τε λέγοντας, μηδὲν προσέχειν χρῆναι τοῖς ἑπομένοις, εἰ τὸ προτεθὲν σαφῶς ἀποδέδεικτο, καὶ τοὺς ἀντιφέροντας, ὅτι ψευδὴς καθάπαξ ἡ πρότασις, ὡς εἰς ἄτοπον ἄγουσα, καὶ ὅτι περιττὸν τοὺς λόγους οἷς ἐκείνη ἀποδείκνυται ἐπιθεωρεῖν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 668. Ἐπὶ ταῖς ἀνεπιλύτοις τῶν ἐνστάσεων, ἐκράτησαν ἤδη, ὡς ἀληθὲς ἕκαστον ὑπολαμβάνειν, ὃ τῇ ἀποδείξει πρῶτον φθάσας περιέτυχεν. Ἀλλ' οὐδὲν τοῦ τοιούτου τῷ ὀρθῷ λόγῳ μᾶλλον ἀντίκειται.

§ 669. Κανὼν οἷον κοινῇ προβάλλεται, **μηδὲν ταῖς ἐνστάσεσι προσεκτέον εἶναι, τῆς προτάσεως ἤδη σαφῶς ἀποδεδειγμένης.**

§ 670. Ἀλλ' ὁ κανὼν διερμηνευτέος. Εἴπερ γὰρ ἡ γινομένη ἔνστασις, σαφής τις καὶ ἐναργὴς ἐστὶ λόγος, δι' οὗ τὸ τῆς προτάσεως ἐναντίον κατασκευάζεται, οὐκ ἔῤῥωται τὸ τοῦ κανόνος, καὶ πειστέον μάλιστα τηνικαῦτα τῷ ἐναντίῳ κανόνι τῷ διαγορεύοντι, **μηδέποτε τελείαν εἰς πιθὼ λαβεῖν ἐξεῖναι τὴν πληροφορίαν, εἰ μὴ πᾶσαι πρότερον αἱ γινόμεναι ἐνστάσεις τῆς δεούσης τύχοιεν ἐπιλύσεως.**

§ 671. Τὰς δὲ ἐνστάσεις ἐν τούτῳ, διακριτέον τῶν ἀποριῶν, αἳ, καὶ τῆς προτάσεως σωζομένης, ὑφίσανται, εἴτε ὑπεῖναί τι ἐλέγχουσι τῇ προτάσει, ἀσαφείας ἐχόμενον. Ἐκείνας γὰρ καὶ ὑπερορᾷν ἐφεῖται, καὶ περὶ ἐκείνων, ἐννοεῖσθαι δεῖν, τὸν προχειρισθέντα κανόνα (669) φανερόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 672. Ἐκ τῆς ἐνιαυσίȣ παραλλάξεως, τῆς μήπω ἀκριβῶς παρατηρηθείσης, ἔνςασίν τινα, κατὰ της κινήσεως τῆς γῆς περὶ τὸν ἥλιον, προτείνειν εἰώθασιν. Ἀλλὰ τὸ τȣ̃ λόγȣ κράτος, ἐκ τῆς ἀποςάσεως ἤρτηται τῶν ςερεῶν ἀςέρων τῆς ἡμῖν ἀγνοȣμένης. Ταύτης ὅσον ἅλις μεγεθυνομένης, ἔῤῥει τὰ τῆς ἀντιθέσεως. Καὶ εὔλογον δήπȣ τὰ περὶ τῆς ἐνιαυσίȣ λεγόμενα παραλλάξεως συγχωρεῖν, καὶ τῆς κατὰ τὴν γῆν σαζομένης κινήσεως.

§ 673. Πολλὰ ἀντεμβάλλειν εἰώθασι, τοῖς ὑπὸ τῶν Μαθηματικῶν περὶ τȣ̃ ἀπείρȣ ἀποδεικνυμένοις. Ἀλλὰ γὰρ ταῦτα πάντα ȣ̓δὲν ἄλλο δείκνυσιν, ἢ μὴ εὐκρινῶς ἡμῖν τὰ τῷ ἀπείρῳ προσαιήκοντα τυγχάνειν ληπτά. Οὐδὲν μέν τοι ἧττον τοῖς ἀποδεικτικοῖς λόγοις τὸ ἐνὸν κράτος ἐγκαταλείψȣσιν.

§ 674. Ἡ γὰρ ἔνςασις ἡ ἀπὸ τῆς ἀγνοίας προβαίνȣσα, ȣ̓δενὸς ἐςὶ λόγȣ, κατὰ τῶν ἐναργῶς ἀποδειχθέντων.

§ 675. Ταῦτα δὲ πάντα καίπερ ἐπ᾽ εὐθείας τὴν Μαθηματικὴν ἐνάργειαν ἀφορῶντα, ȣ̓δὲν ἂν ἧττον καὶ τῇ ἠθικῇ ἐναρμόσειε. Περὶ ἧν ἔτι παρατηρητέον, ὅτι ἡ βεβαιότης, παρὰ τὸ ἐξ ἀντιθέτȣ πιθανὸν, ȣ̓κ ἂν ἀσθενεςέρα γένοιτο ποτὲ (671). Αὐτη γὰρ ȣ̓δαμῶς ἀνατρέπει τὸ τȣ̃ ἐναντίȣ ἀσφαλές τε καὶ βέβαιον, ȣ̓δ᾽ ἀπὸ τῆς καθ᾽ ἑαυτὴν ἐννοίας ἐκκλείει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 676. Ἀπούσης δὲ τῆς βεβαιότητος, καὶ τὸ μάλιστα πιθανὸν, ἀπὸ τῆς ἀντικειμένης πιθανότητος κολούεται, ὅτι ἐνδέχεται μὲν διαψεύδεσθαι καὶ τὸ πιθανώτατον, ἀληθεύειν δὲ καὶ τὸ ἐλάσσονι τῇ πιθανολογίᾳ κατωχυρωμένον (626).

§ 677. Ἄνδρε δύω περὶ τινὸς προκειμένου, ἐκδιηγεῖσθον ἐμοὶ, τὰ συναληθεύειν μὴ φύσιν ἔχοντα. Ἐὰν οὖν ἀμφοτέρων ἡ μαρτυρία, ὡς φιλαλήθων ἔχῃ τὸ εὔπιστον, ἀμφισβητητέον ἂν εἴη, (666) εἰσβάλλοντα θάτερον μόνον ἀληθῶς λέγεσθαι.

§ 678. Ἐὰν δὲ τούτων ὁ μὲν ἔχῃ τὸ ἀξιόπιστον, ὁ δὲ οὐ πόῤῥω ὑπονοίας γίνεται ψεύδους, τῇ τοῦ δευτέρου μαρτυρίᾳ οὐδὲ βραχὺ προσεκτέον (675).

§ 679. Εἰ δ' ἄμφω ὑποπτεύεσθαι ἄξιοι ἐπίσης εἰσὶν, ἡ θατέρου μαρτυρία ἀνατρέπει τὴν τοῦ ἑτέρου. Ἐὰν δὲ τῶν μὲν μαρτυρουμένων ἑκάτερον πιθανολογῆται, μέτριον δὲ τὸ ὑπὲρ τῶν ἀνδρῶν ὕποπτον ᾖ, πιθανὸν ἐστὶ τὸν ἕτερον αὐτῶν ἀληθεύειν.

§ 680. Ἐὰν ὑπὲρ τῶν ἐναντίων λόγοι, προβάλλωνται πιθανοὶ, τὸ δ' ἐν τούτοις πιθανὸν ἄνισον ᾖ, ἐκ τούτων δοθέντων, διορισθῆναι δυνήσεται, ὅσον ἡ πιθανότης τὴν ἀντικειμένην πιθανότητα ὑπερβάλλει.

§ 681. Φυλακτέον δὲ τοῦ μὴ τὴν ἀντικειμένην πιθανολογίαν, ἐξ ἀλλοτρίου τινὸς ἐπι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φέρειν, ὃ πρός γε τὸ ἡμῖν προκείμενον ἐδεμίαν ἔχει ἀναφοράν. Ἐκ γὰρ τῆς προσηκέσης πηγῆς τὰ ἐπιχειρήματα δέον ἀρύεσθαι.

§ 682. Πρὸς διορισμὸν τῦ πιθανὴν εἶναι τὴν ἔκβασιν τινὸς τῶν ἐνδεχομένων, ἥκιστα προσεκτέον τῷ ἅπαξ ποτὲ, ἢ καὶ δεύτερον κατὰ τὸ παρακηκὸς συμβεβηκότι. Οὐδὲ γὰρ μείζονα ἐκβάσεις δύο προσεχῶς ἑπόμεναι, ὧν ἡ ἑτέρα ἐδαμῶς ἐξήρτηται τῆς ἑτέρας πρὸς ἀλλήλας ἔχεσι τὴν ἀναφοράν, ἢ ἐκβάσεις ἄλλαι ὁποῖαι δήποτε.

§ 683. Τὸ πιθανὸν τῆς τῶν κύβων ἀναῤῥίψεως, ἐ μεταβάλλει ἐκ τῆς προηγησαμένης βολῆς, ἥτις ἂν ἡμῖν γιγνώσκοιτο. Καί τοι ὅσοι οἱ τοῖς τοιέτοις εἰσὶ προσέχοντες, καὶ λέγοντες· συνέβει τόδε· ἐκεῖν τόδε νῦν ἐδαμῶς συμβήσεται.

§ 684. Οἱ δὲ τὲναντίον, ἐπειδὴ τὸ πρᾶγμα, καί τοι ἄλλως λίαν γε πιθανὸν ὄν, τῆς ποθεμένης ἐκβάσεως ἐδαμᾶς ἔτυχε, τῆς παραπλησίας ἀποπειράσασθαι τύχης, ἐκέτι θαῤῥῦσι· ἐπειδὴ γὰρ τόδε ( φασὶ ) συνέβη, καὶ αὖθις συμβήσεται.

§ 685. Ὅσα δὲ ἄνθρωποι περί τε τύχης, καὶ εὐτυχίας, καὶ ἀτυχίας, ἑαυτοῖς ἀναπλάττεσιν, ἐν οἷς ἡ σύνεσις ἀπαιτεῖ τὸ μόνῃ προσέχειν τῇ πιθανότητι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 686. Τῶν ἐκβάσεων, τῶν βραχύ τι πιθανότητος ἐχουσῶν, τὴν πρὸς ταῖς τῶν ἀνθρώπων ἐπιθυμίας σχέσιν, καὶ πλεὸν οὐδὲν, τὰ ὀνόματα ταῦτα τῆς εὐτυχίας τε καὶ ἀτυχίας ὑποσημαίνουσι.

§ 687. Ἀλλ' ἐν γένει ἤδη τοῖς περὶ τῆς Μαθηματικῆς τε καὶ Ἠθικῆς ἐναργείας, καὶ δὴ καὶ περὶ τῆς πιθανότητος εἰρημένοις, εἰς τὴν κατ' αὐτὰς χρησιμωτέρων ἀνάπτυξιν, σφραγίδα ἐπιθετέον.

§ 688. Τοιαύτη τῶν ἀνθρώπων ἐστὶν ἡ φύσις, διὰ τὸ στενὸν τῆς διανοίας, τὸ μὴ πάντη πᾶσαν ἀπάτην ἐκκλίνειν δύνασθαι. Τίσι μὲν ἀκολουθεῖν δέον κανόσιν, εἰς τὴν ταύτης ἐκφυγὴν, εὑρίσκουσιν, ἐπὶ πᾶσι γεμὴν ἀκολουθεῖν τῆς κανόσι τοῖς δε, ἀδυνατοῦσιν.

§ 689. Ἐκ τοῦ τῆς γνώσεως βαθμοῦ, τοῦ ἐν διαφέρουσιν ἀνθρώποις διαφορὰν ἔχοντος, τὸ διάφορον τῶν ἑκάστου δοξασιῶν τε καὶ ὑπολήψεων ἤρτηται. καὶ οὐδὲν ἄρα θαυμαστὸν, εἰ τοσαῦται αἱ κατὰ τὰ δόγματα διαφοραὶ, καὶ εἰ ὁ αὐτος συνεχῶς γνωσιμαχῶν δόξαν ἀμείβεται.

§ 690. Ἔστιν ὅμοι δοκεῖ πόῤῥω πάσης ἀμφιβολίας εἶναι, ἀλλὰ καὶνη τις προσπεσοῦσα ἀντίθεσις, ἣν ἐπιλῦσαι οἷός τε οὐκ εἰμὶ, εἰς τὸ ἀπορεῖν με περὶ τοῦ τοιούτου ἐξ ἀνάγκης ἐνάγεται (670). Τὴν ἐπίλυσιν οὖν ἀνακαλύψαντι, οἴχεται τὰ τῆς ἀπορίας, καὶ δευτέρα τις

ἐπὶ τὸ αὖθις πείθεσθαι περὶ τῆς προκειμένης προτάσεως, μεταβολὴ ἐμποιεῖται. Ἀλλὰ γὰρ αἱ τοιαίδε μεταβολαὶ, περὶ τὰ μείζονος λόγε ἄξια, τοῖς μετὰ σπεδῆς προσέχεσι, καὶ τὴν τῶν ὄντων γνῶσιν ἑαυτοῖς ἐπεκτείνειν προθυμεμένοις, σπανιώτεραι εἰσίν.

§ 691. Ἐν ταῖς κατάγε τὸ πιθανὸν εἶναι κρίσεσιν, εὐπερίτρεπτον εἶναι τὴν ψυχὴν, καὶ ῥᾷςα μεταβάλλεσαν, αὐτόθεν δῆλον. Τὸ γὰρ τῆς πειθὲς χρῆμα, κατὰ σχέσιν πως ἐςὶ πρὸς ἣν γνῶσιν ἔχομεν τὲ πράγματος ἀτελεςέραν, σὺν ᾗ καὶ μεταβάλλειν ὅσαι ὧραι δύναιτο ἄν (590). Ταύτῃ τοι, καὶ ὁ μόλις τινὶ πιθανῶς δοκῶν ἔχειν λόγος, ἑτέρῳ τινὶ ἀποφαινομένῳ, ᾧπερ πλείονα περὶ τὲ προκειμένε ἄλλοθεν τὰ γινωσκόμενα περίεςιν, πᾶσαν ἀπορίαν ἐκ μέσε ποιεῖ (627).

§ 692. Τὲτο δὲ μάλιςα χώραν ἔχει, ἐπὶ τῶν κοινῇ κατὰ τὴν τὲ βίε χρῆσιν ὁσημέραι συμβαινόντων· ἐν γὰρ τοῖς τοιέτοις τὰ τῆς πειθὲς τῶν πολλῶν ἑκάςοις συμπαραλλάσσει καὶ συμπληθύνεται. Ἤρτηται δὲ ταύτης τὸ πλέον ἀπὸ τῆς περὶ τὰς ἐλαχίςας τῶν περιςάσεων προσοχῆς, ὧν ἐν μέρει βραχεῖα μὲν ἡ δύναμις, ἐν ἀθροίσει δὲ τονεῖται τὸ κράτος (645), μέγα τι καὶ μέγιςον πολλάκις τῇ ἑνώσει (627) τὸ πιθανὸν συναποτελεσῶν.

§ 693. Περὶ ὧν δέ τις ἀναπολῶν διατελεῖ κατὰ φρένας, ἐκ τὲ χρόνε καὶ τὲ τόπε, ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἷς τινὰ διαπραττόμενος καθορᾶται εἰκάζομεν· ἔκ τε τῆς διαθέσεως καὶ τῶν κινημάτων τοῦ σώματος, κἀκ τῆς φωνῆς δὲ, καὶ τῆς ὄψεως, καὶ τῶν ἀλλοιώσεων τῶν ταύτῃ ἐμφαινομένων, καὶ ἐξ ἄλλων δέγε πλειόνων, ἃ τοιαῦτ' ἄττα ἐςὶν, ἅπερ οὔτ' ἐκτεθῆναι τοῖς ἄλλοις, οὔτε πρὸς μέτρον ἔχειν τεταγμένον ἀνακληθῆναι. Ἔνθεν τοι ἐν ταύταις ταῖς περιςάσεσιν, περὶ τοῦ πιθανοῦ, τοῦ ἐκ πασῶν τῶν τοιῶνδε παρατηρήσεων ἐκπηγάζοντος, μόνοι καθ' ἑαυτούς γε κρίνειν πεφύκαμεν, ἥτε κρίσις αὕτη, σφίσι μόνοις ἐςὶν ἀνήκουσα.

§ 694. Δίδοταί τις δὲ καὶ περὶ τὰ τοιαῦτα τέχνη, ἀπὸ τῆς εἰς ταὐτὸ συγκύρσεως πλειόνων περιςάσεων ἠρτημένη, τῶν πρὸς τὸ αὐτὸ τέλος τεινουσῶν. καί τοι δὲ τὰ τῆς εἰρημένης τέχνης εἰς κανόνας τινὰς ἀναγαγεῖν οὐ ῥᾴδιον, ἔςιν ἃ γεμὴν, ἐν τοῖς ἑξῆς, καὶ περὶ ταύτης ὑποθετέον.

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

## Περὶ Κρίσεως Συνθέτου, ἤτοι περὶ Συλλογισμῶν.

§ 695. Παραθέσει δυοῖν ἐννοιῶν ἡ Κρίσις συνίςαται (400). τὸ Κατηγορούμενον κατὰ τοῦ Ὑποκειμένου, ἤτοι καταφάσκεται ἢ ἀποφάσκεται· (405) τουτέςιν αἱ κατὰ τὸ ὑποκείμενον καὶ τὸ κατηγορούμενον ἰδέαι, ἤτοι ἀλλήλαις συζεύγνυνται, ἢ ἀπ' ἀλλήλων ἀποζεύγνυνται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 696. Καὶ τῶν μὲν ἰδεῶν ἀμέσως παραβάλλεσθαι δυναμένων, ἔργον ἐδὲν, πολλάκις γεμὴν ἀπείρηται ἡ τοιάδε παράθεσις· ἢ τότε δὴ μέσην τινα προσπαραληπτέον ἰδέαν· ἥτε δὶ αὐτῆς τηνικαῦτα γινομένη παράθεσις τῶν ἰδεῶν, καλεῖται **διάνοια**.

§ 697. Ἡ μέση δὲ ἰδέα, ἢ ἢ μέσον ἀκέει, τῇ μὲν τῷ ὑποκειμένῳ, τῇ δὲ τῷ κατηγορεμένῳ ἐν τῷ μέρει παραβάλλεται, κατὰ δισσὰς προτάσεις ἀλλήλων διακεκριμμένας, αἳ μετὰ τῆς ἀποδειχθῆναι προκειμένης, τὸ ἐπιχείρημα συναποτελέσι

§ 698. Ἡ δὲ τρίτη αὕτη καλεῖται συμπέρασμα.

§ 699. Καὶ ταύτης τὸ μὲν κατηγορέμενον, **ὅρος** ἀκέει ὁ **μείζων**, ἥτε πρότασις καθ' ἣν ἕτος τῷ μέσῳ συμπαραβάλλεται, τε ἐπιχειρήματος τὴν μείζονα συνίςησι τῶν προτάσεων.

§ 700. Τὸ δὲ τε συμπεράσματος ὑποκείμενον, **ὅρος** ἐςὶν ὁ **ἐλάσσων**, ἥτε πρότασις, καθ' ἣν ὅδε τῷ μέσῳ συνέρχεται, **ἐλάσσων**.

§ 701. Ἡ μείζων δὲ μετὰ τῆς ἐλάσσονος τε ἐπιχειρήματος εἶναι λέγονται **αἱ προκείμεναι**.

§ 702. Ἡ δὲ διάνοια ἁπλῆ ἐςὶν, καὶ ἑνὶ ἁπλῶς ἐπιχειρήματι ἐκπεραίνεται, ἐπειδὰν μία μόνη μέση ἰδέα παραλαμβάνεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 703. Εἰ δὲ δὴ πλείω ἐναπαιτεῖται τὰ μέσα, εἰς δεῖξιν τῆς τῶν προκειμένων ἰδεῶν σχέσεως, διανοίας χρεία συνθέτου, καὶ πλείονας ἁπλουστέρας διανοίας συνεπαθροίζειν ἐπάναγκες, ὡς ὀψόμεθα (726. κξ). προεκθέμενοι ἤδη τὰ τῇ ἁπλῇ διανοίᾳ προσήκοντα.

§ 704. Ἀποδεῖξαι ἐπιχειρήσας τὴν γῆν σφαιροειδῆ τυγχάνειν, αὐτίκα ξυνορῶ τὴν τοῦ σφαιρικοῦ τῶν σχημάτων ἰδέαν, τῇ τῆς γῆς ἀμέσως εἶναι ἀσύναπτον. Γένοιτό γε μὴν τοῦτο διὰ μεσιτευούσης ἰδέας, τουτέστι διὰ τῆς σκιᾶς τῆς γῆς, ἥτις σκιά τις ἐστὶ σαφῶς σώματος σφαιρικοῦ· καὶ γενομένης οὖν τῆς παραθέσεως, ἐκφέρεται ἡ διάνοια ὧδε.

§ 705. Τὸ σῶμα, οὗτινος ἡ σκιά, ἐπὶ ἐπιπέδου κατ᾽ εὐθεῖαν προβαλλομένη, ὅπως ἂν ἔχῃ ἐκεῖνο θέσεως, κυκλική, σφαιροειδές ἐστι.

Τὴν δὲ τῆς γῆς σκιὰν τοιαύτην εἶναι, ἐπὶ τῆς σεληναίας ἐκλείψεως καθορῶμεν.

Ἄρα ἡ γῆ σφαιρικόν τι σῶμα ἐστίν.

§ 706. Οὐκ ἀεὶ ἅπασαι αἱ τοιαίδε προτάσεις ἐκφέρονται, ἀλλὰ τὴν σιγῇ ὑπερβαλλομένην οἷόν τε ἀναπληροῦν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νᾶς ἡ ψυχὴ Ἀσώματος ἄρα. Ἀναπληρωτέον τήν: Τὸ νᾶν ἐςὶν ἀσώματον.

§ 707. Ἐφ' ᾧ δὴ τὸ συμπέρασμα ἰσχύειν, ἀπαιτεῖται ά., τὰς προκειμένας, ὑφ' ὧν ἡ ὕλη τῷ ἐπιχειρήματι συμπληρᾶται, ἀληθεῖς εἶναι. Εἶτα δὲ καὶ ἐξ αὐτῶν ἧ δέον συνάγεσθαι τὸ ἐπιφερόμενον· τᾶτέςι, τὸ τὴν μέσην τῶν ἰδεῶν, μετὰ τῶν τᾶ συμπεράσματος ὅρων, τὴν τάτων πρὸς ἀλλήλας ἐλέγχειν ἀναφοράν, ὃ πρὸς τὸ εἶδος τῆς διανοίας ἀνήκειν λέγεται.

§ 708. Περὶ τᾶ εἴδας μόνα, τόγε νῦν ἔχον πραγματευόμενος, τὰ πρὸς ἐκφυγὴν διαμαρτίας τείνοντα ὑποθήσω.

§ 709. Πλείω τῶν εἰς τᾶτο ἐπιζητᾶμένων παρὰ τοῖς Διαλεκτικοῖς εὑρεῖν ἐςὶ, ἅττα εἰ καὶ μὴ εἰς τὸ παντελὲς ἄχρηςα, ᾶ μὴν δὲ πρὸς τὸ διανοεῖσθαι ὀρθῶς ἁπλῶς ἐςὶν ἀναγκαῖα.

§ 710. Διὸ συντόμως ἐκθήσω, βραχέα τινὰ ἅλις ἕξειν πειθόμενος, ὥςε ῥᾴδιον, ἢ διὰ τῶν κοινῇ φερομένων κανόνων, περὶ τῆς κατὰ τὴν διάνοιαν ἀληθείας κρίνεσθαι.

§ 711. Ἐπεὶ δέτοι ἡ τᾶ ἐπιχειρεῖν τέχνη καλλίςη ἐςὶ καθ' ἑαυτὴν θεωρᾶμένη, καὶ λίαν συντελεῖ εἰς ἔλεγχον τῶν περὶ τὰς συλλογισμὰς σοφιςιώντων, ταῦτατοι ἐν ἑνὶ ἰδίᾳ παραρτήματι, συντόμως ὕςερον αὐτὴν διαλήψομαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 712. Ἐφ' ᾧ δὲ περὶ τῦ ἐπιχειρήματος κρίνειν, πρὸ πάντων ἀπαιτᾶται, τὸ περὶ ὧ ὁ λόγος καλῶς νοεῖν, εἶτα καὶ τοῖς ἑξῆς προσέχειν.

§ 713. Α'. Ἐπὶ παντὸς συλλογισμῦ τρεῖς μόνοι ὅροι εἰσὶν, τὸ ὑποκείμενον καὶ τὸ κατηγορέμενον τῦ συμπεράσματος, τῷ τρίτῳ, δηλαδὴ τῷ μέσῳ ἐν ταῖς προκειμέναις παραβαλλόμενα· καὶ σφαλερὸς ἐςαι τοίνυν περιέχον τέσσαρας.

§ 714. Β. Ἵνα δὴ μὴ τέτταρες ὦσιν οἱ ὅροι, ἅπαξ τὐλάχιςον καθόλυ χρὴ τὸ μέσον παραλαμβάνεσθαι. Ἐὰν γὰρ ἑκατέρωσε ἐν μέρει παραβάλληται, περὶ διαφερύσης ἰδέας νοεῖσθαι δυνήσεται· καὶ ἰδέα τὸ τηνικαῦτα μέση πρόκειται ὐδεμία.

Ἐὰν εἴπω, ζῇ μὲν ἄνθρωπος, ζῇ δὲ καὶ κύων, ὐ περὶ τῆς αὐτῆς ζωῆς ὁ λόγος.

Ἐὰν δὲ εἴπω, ζῇ μὲν ἄνθρωπος, ὐ ζῇ δὲ λίθος, ἐπειδὴ ζωὴ πᾶσα ἀπὸ τῦ δευτέρυ ἀπάγεται, καὶ περὶ τῆς κατὰ τὸ πρώτως δήπυ ῥηθὲν ὁ λόγος.

§ 715. Γ'. Ἡ τὸ μέσον καθόλυ ἔχυσα, ἀεὶ τὴν τύτυ ἑτέραν παρέχεται δήλωσιν, μετά τινος διορισμῦ· ἡ γὰρ καθόλυ τῦ μέσυ δήλωσις, περιεκτικὴ ἐςὶ τῶν κατὰ μέρος ἐπὶ τὸ αὐτὸ ὑποκείμενον ἐπανηκόντων· οἷον ἐπὶ τῦ προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ληφθέντος· ὁ λίθος ἐ ζῆ. ἀντὶ τῦ ζῶντος, δυνατόν τι θέσθαι διωρισμένον, ὃ μὴ ἦ λίθος. Εἰδέγε ὁ λίθος εἴη τὸ μέσον, ἐπεὶ καθόλε τίθεται, ἀντὶ τῦ λίθε, δυνατόντι θέσθαι ὡρισμένον, ὃ ζωῆς ἀμοιρεῖ.

§ 716. Δ'. Ἵνα δὲ ἤδη, δοθέντος ἐπιχειρήματος, τὸ εἶδος εἰ κατὰ τὸ δέον ἔχοι ἐγκρίνωμεν (708)· ἐξεταςέον πρῶτον, εἰ μὴ τέτταρες ἐν αὐτῷ οἱ ὅροι εἰσὶν (713)· τετέςιν, ἐὰν ὅ,τε μείζων καὶ ὁ ἐλάσσων, ἰσοδυνάμως τε καὶ ταυτοσημάντως κείμενοι ὦσιν ἐν ταῖς προκειμέναις κᾀν τῷ συμπεράσματι· καὶ εἰ περὶ τῦ αὐτῦ μέσε ἐπ' ἀμφοτέρων ἐκείνων ὁ λόγος.

§ 717. Καὶ τέτων ἀνελλιπῶς ἐχόντων, σημειωτέον τὴν τῦ μέσε δήλωσιν, ἐπὶ τῆς προκειμένης ἐν ᾗ καθόλε κεῖται ληφθείς· τὴν γὰρ δήλωσιν ταύτην ἀντὶ τῦ μέσε, δέον παρεῖναι κᾀπὶ τῆς ἑτέρας, ἤ, κατὰ τὴν ἐκδοχὴν ταύτην, καλῶς χωρῦντος τῦ συμπεράσματος, ἐπὶ τὴν αὐτὴν ταύτην ἀμείβεται, ἢ γῦν ἐφ' ἑτέραν πρότασιν αὐτῇ ἰσοδύναμον.

Ἐὰν δὲ ἐπ' ἀμφοῖν τῶν προκειμένων, καθόλε τὸ μέσον λαμβάνηται, ἐδὲν διοίσει ὁπωτέρῳ τῶν τεθέντων κανόνων ἡ προσάρμοσις γένοιτο.

§ 718. Ῥᾶςα γὰρ ἀναφαίνεται, ὅτι τῇ τοιαύτῃ μεθόδῳ, ἡ παράθεσις ἐκφέρεται, ἡ μεταξὺ τῦ ὑποκειμένε καὶ τῦ κατηγορεμένε,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τῆς μεσιτευὲσης ἰδέας ἐλεγχομένη· ὡς εἰμή-γε ἐπὶ τὸ συμπέρασμα περιπέσοιμεν, δῆλον, μὴ κατ᾽ ὀρθὴν συνέπειαν τὸ συμπέρασμα ἐπι-φέρεσθαι, κἂν ἄλλως ἀληθεῦον ᾖ.

§ 719. Παραδ. Α΄. Εἴπερ οἱ Σῆρες, τὰ τȣ̃ Μωάμεθ θρησκεύȣσιν, ἀσε-βεῖς εἰσίν.

Εἰσὶ δὲ. Θρησκεύȣσιν ἄρα.

Τέτταρες οἱ ὅροι· ȣ̓ γὰρ περὶ τῆς αὐτῆς δυσσεβείας ὁ λόγος ἐπί τε τῆς μείζονος, κἀπὶ τῆς ἐλάσσονος. (713. 714).

§ 720. Παράδ. Β΄. Ὅπερ ἐώνημαι, τȣ̃τ᾽ ἐσθίω. Ὠμὸν δ᾽ ἐώνημαι. ὠμὸν ἄρα κρέας ἐσθίω.

Τέτταρες κἀνταῦθα. Ἡ ψευδὲς ἡ πρώτη. Προσθεῖναι γὰρ ἔδει, παρασκευασθὲν, ὡς ȣ̓κ ἐν τῷ συμπεράσματι εἴληπται.

§ 721. Παράδ. Γ΄. Οὐδὲν αἰσχρὸν πο-θεῖν δέον.

Ἔστι δέ τι κέρδος αἰσχρόν.

Οὐκ ἄρα τι κέρδος ποθεῖν δεῖ.

Ἐπὶ τῆς μείζονος, σαφὲς ὡς ἀντὶ τȣ̃ αἰσχρȣ̃, ἔστιν ὃ μὴ δέον ποθεῖσθαι, ὤφειλεν ὑποτίθεσθαι. (715) Ἀντικαθεστῶτος δὲ, κατὰ τὴν ἐλάσ-σονα (717), παρέσται τι κέρδος, ὅπερ ȣ̓ δέον ποθεῖν. ὅπερ αὐτὸ ἦν τὸ συμπέρασμα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 722. Παράδ. Δ'. Τὸ σῶμα ἀδιαχώρητον.

Ἐκτεταμένον δέτι ἐκ ἔςιν ἀδιαχώρητον.

Ἐκτεταμένον ἄρα τι σῶμα ἐκ ἔςιν.

Ἡ ἐλάσσων δείκνυσιν, ὡς ἀντὶ τῦ ἀδιαχωρήτε, τεθείη ἄν, ὅπερ ἐχ ὡρισμένως ἐκτεταμένον τι, (715) καὶ ἀντικαθεςῶτος κατὰ τὴν μείζονα (717), παρέςαι ὅτι τὸ σῶμα, ἐχ' ὡρισμένως τοίονδέ τι ἐκτεταμένον ἐςὶν. Ἥτις δὲ πρότασις τῷ τῦ ἐπιχειρήματος συμπίπτει συμπεράσματι.

§ 723. Παράδ. Ε'. Οἱ Τῦρκοι ἐκ εἰσὶ Χριςιανοί.

Οἱ δὲ Ἱσπανοὶ Τῦρκοι ἐκ εἰσὶν.
Οὐκ ἄρα κτ.

Ἐπὶ τῆς μείζονος, δυνατὸν ὁρῶ ἀντὶ τῶν Τέρκων κεῖσθαι, τινὰς Χριςιανὲς μὴ τυγχάνοντας. Γενομένης ἒν τῆς ἀντικαταςάσεως, πάρεςιν ἐπὶ τῆς ἐλάσσονος, ὡς οἱ Ἱσπανοὶ, ἐχὶ τινὲς εἰσὶν, οἱ Χριςιανοὶ ἐκ εἰσὶν. Ἔνθεντοι τὸ τῦ ἐπιχειρήματος συμπέρασμα ἐκ ἐυοδῦται.

§ 724. Ἔςι καὶ ἄλλα ἐπιχειρήματα, ἐφ' ὧν ἒ κατὰ προτάσεις ἐν μέρει, τοῖς ἐπὶ τῦ συμπεράσματος ὅροις τὸ μέσον παραβάλλεται, ἀλλ' ἡ μείζων παρὰ τὸ μέσον, καὶ ὅλον περι-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχουσα ἐστὶ τὸ συμπέρασμα. Ἐπὶ τούτων δὲ τὸ τῆς ἐπιφορᾶς ὀρθὸν ἐλεγχθήσεται, ἀντικαθισταμένου ἐπὶ τῆς ἐλάσσονος, ὡς μέσου, τὸ ἐν τῇ μείζονι περὶ τοῦ μέσου λεγόμενον. Ἐὰν γὰρ οὕτως αὐτῷ τῷ συμπεράσματι ἀπαντήσωμεν, ἢ προτάσει ἰσοδυνάμῳ, ὀρθὸν ἔσται τὸ συμπέρασμα· ἢν δὲ μή, οὐχί.

§ 625. ς. Εἰ μὴ Θεὸς ἐστὶν, εἰκῇ πάντα φέρεται. Ἀλλ' οὐκ εἰκῇ. ψεῦδος ἄρα τὸ Θεὸν μὴ εἶναι.

Δῆλον ὡς ἐν τῇ ἐλάσσονι, τὸ μὴ εἰκῇ, τῷ Θεὸν εἶναι, εἰς ταυτὸ χωρεῖ, γενομένης οὖν τῆς ἀντικαταστάσεως, αὐτὸ παρέσται λαβεῖν τὸ συμπέρασμα.

§ 726. Παράδ. Ζ'. Ἤτοι ἥλιος ἵσταται, ἢ γῆ.
Ἥλιος δέ. Οὐχ ἡ γῆ ἄρα.

Τίθεται ἐν τῇ μείζονι, τὴν τῆς γῆς κίνησιν, τῆς τοῦ ἡλίου στάσεως εἶναι ἀχώριστον. Γενομένης οὖν τῆς ἀντικαταστάσεως κατὰ τὴν ἐλάττονα, δῆλον τὸ ὀρθὸν τοῦ συμπεράσματος.

§ 727. Διάνοιαν σύνθετον εἶναι ἔφημεν (703), ἔνθα πλείονες αἱ μεσιτεύουσαι ἰδέαι ἐναπαιτοῦνται, ἵνα ἡ τῶν τοῦ συμπεράσματος ὅρων παράθεσις γένοιτο.

Ἔστων Α καὶ Δ αἱ ἰδέαι ἃς χρὴ παραβαλεῖν, οὐκοῦν μὲν ἀμέσως, ἐπείπερ οὐχ οἷοντε, ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς τὸ μὲν Α παραβάλλεσθαι τῷ Β, τὸ δὲ τῷ Γ, τὸ δὲ τῷ Δ ἐπαναφέρεσθαι. Ταύτῃ καὶ γὰρ τὸ Α καὶ Δ, ἀλλήλοις παραβληθήσεται, μεσιτευόντων δηλαδὴ τῶν Β καὶ Γ. ἔχει δὲ τοῦτὶ γίνεσθαι, ἤτοι συνεχεῖ τινι διανοητικῇ ἐφόδῳ, ἢ κατὰ ἐπιχειρήματα ἀπ' ἀλλήλων χωρὶς ἔχοντα.

§ 728. Παράδ. Η. Τὸ πρώτιςον τῶν αἰτίων ἁπάντων, ἐκ ἔχει αἰτίαν.

Τὸ μὴ ἔχον αἰτίαν, ἐν ἑαυτῷ ἔχει τὰ πρὸς ὕπαρξιν ἀπαιτέμενα.

Τὸ ἐν ἑαυτῷ ἔχον τὰ πρὸς ὕπαρξιν ἀπαιτέμενα, ἐκ ἂν ἔχοι μὴ εἶναι.

Τὸ ἄρα πρώτιςον τῶν αἰτίων ὑπάρχει, ὅτι ἐ δύναται μὴ εἶναι.

§ 729. Ῥᾷςα ἡ ἔφοδος εἰς ἁπλᾶ ἂν ἀναλύοιτο ἐπιχειρήματα, ὧν ἕκαςον, κατὰ τὲς παραδοθέντας κανόνας (716. 717) ἀνακριθείη.

§ 730. Τὸ μὴ ἔχον αἰτίαν, ἐν ἑαυτῷ ἔχον ἐςὶ τὰ πρὸς τὸ ὑπάρχειν ἐναπαιτέμενα.

Ἡ πρώτιςη αἰτία, αἰτίαν ἐκ ἔχει.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ἄρα ἡ πρωτίστη αἰτία ἐν ἑαυτῇ ἔχει κτ.*

Τόδε δὲ τὸ συμπέρασμα ἀντὶ ἐλάσσονος ἔσαι τȣ̃ δευτέρȣ ἐπιχειρήματος, ȣ̃ μείζων ἡ ἐφεξῆς πρότασις ἐπὶ τῆς συνεχȣ̃ς ἐφόδȣ. Παραπλησίως δ᾽ ἂν καὶ ἄλλα συσαίη ἐπιχειρήματα, εἰ πλείονες τὸν ἀριθμὸν ἐτύγχανον αἱ ἰδέαι αἱ μεσιτεύȣσαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΒΙΒΛΙΟΝ Β',
# ΤΗΣ ΛΟΓΙΚΗΣ.

## ΜΕ'ΡΟΥΣ Β.
## ΠΕΡΙ ΤΩΝ ΠΟΙΗΤΙΚΩΝ ΤΗΣ ΑΠΑΤΗΣ.

### ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.
### Περὶ τῶν αἰτίων τῆς ἀπάτης ἐν γένει.

§ 731. Ὅτι μὲν δὴ Νοῦς ὁ πέρασιν ὡρισμένος, οὐχ οἷός τ' ἂν εἴη ἔξω πάσης ἀπάτης ἑαυτὸν ποιῆσαι, σαφὲς ἦν (683). Πλὴν εἴ τις, καὶ αὐτὴν τὴν σύστασιν τῆς τῶν ἀνθρώπων Φύσεως διασκέψαιτο, παρὰ ταύτην τὴν γενικωτέραν, καὶ ἄλλας ἂν εὕροι ἀπάτης αἰτίας μερικωτέρας ἀριθμὸν νικώσας, κατά γε τὸ διάφορον τῶν ἐν ἀνθρώποις κλίσεών τε καὶ περιστάσεων. Μία ἡ πρὸς τὸ ἀληθὲς ἄγουσα ὁδὸς, μυρίαι δὲ αἱ ἐπὶ τὴν ἀπάτην Φέρουσαι εἰσίν.

§ 732. Ἀναγκαῖον οὖν περὶ αἰτίων ἀπάτης, ἔστιν ἅττα προτάξαι, πρὶν ἢ τὴν μέθοδον ἀναπτύξαι ἐπιχειρῆσαι, ᾗ τὸ διανοητικὸν διϊθύνεται, πρὸς θήραν ἀληθείας διεξαγόμενον. Συμφέρει γὰρ τῷ πορείαν ἥντιναοῦν ἀναβαλλομένῳ, τὰ ἀπαντήσοντα χαλεπὰ προειδέναι, ἃ ἂν ἐκκλίνοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 733. Τὶ τοίνυν ἐςὶν ἡ ἀπάτη σαφῶς προελήφθη (448. 472. 474. 475.) λόγῳ δὲ φιλοσοφικωτέρῳ, ἢ μᾶλλον ἀφῃρημένῳ ἐξαπατώμεθα, ὁσάκις συγκατανεύομεν ἐναργοῦς προλήψεως μὴ παρούσης, ἢ περὶ τινός τι καταφάσκοντες, περὶ οὗ οὔπω σαφὴς ὑπῆρχεν ὡς ἐνῆν αὐτῷ.

§ 734. Καὶ γὰρ καὶ εἰ ἐν τοῖς τοιούτοις τις ἐπέτυχε τοῦ ἀληθοῦς, τὸ τῆς ἐπιτυχίας οὐκ αὐτῷ ἀναγραπτέον. Οὐδὲν γὰρ ἧττον ἐντὸς τῆς εἰς ἀπάτην φερούσης τὸν πόδα ἔθετο. καὶ προσέχων ῥαδίως γνώσεται, ὅτι τὸ ἀβέβαιον ὡς βέβαιον εἵλετο. Τὸ δὲ ἀβέβαιον ἀληθεύειν οὐδὲν ἀδύνατον.

§ 735. Ἅπασαν αἰτίαν ἀπάτης ἐπ᾽ ἀκριβὲς καταλέξαι οὐχ᾽ οἷόντε. Διὸ τὰς κυριωτέρας δοκούσας, συντόμως, καὶ ἐν τάξει ἀριθμεῖν πειράσομαι.

§ 736. Οὐ μὴν τὰ εἰρημένα ἐπαναλήψομαι. Πρὸ πάντων δὲ καὶ τοῦτο δώσω, πλεῖστας συμβαίνειν τοῦ ἀληθοῦς παρεκτροπὰς, τὰς μὴ πολλήν τινα ἐπὶ τῶν κατὰ τὸν βίον πράξεων ἐχούσας ῥοπὴν, φυλακτέον γεμὴν, μὴ τούτου γε χάριν τῆς δεούσης προσοχῆς ἀμελοίημεν, τοῦ πᾶσαν ὡς οἷόν τε ἀπάτην ἐκκλίνειν. Ἡ γὰρ αὐτὴ αἰτία ἡ ἐπὶ τὰς κουφοτέρας ἀπάτας παραγαγοῦσα, φανερὸν ὅτι καὶ ἐπὶ τὰς βαρυτέρας δυνήσεται.

§ 737. Τὶς γάρ ποτε τὰς τῶν ἀπατῶν ἀκολουθίας προϊδεῖν ἂν ἔχοι; Οὐδὲν δήπου μέγα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοκεῖ, ὅ,τι ἂν περὶ τῶν ȣρανίων σωμάτων τε ἢ κινήσεων ὁ ὄχλος, φρονοίη. Ἀλλὰ γὰρ ὅσας ȣ̓ διήγειραν ταραχάς τε ἢ ςάσεις, ἔν τε ςρατοῖς, κἀν ὅλοις ἔθνεσιν, οἵτε κομῆται, ἢ αἱ τῶν φωςήρων ἐκλείψεις;

§ 738. Κατὰ γένος ἄρα εἰς εἴδη τινὰ, τὴν ἀπάτην ἐκτάξω, καὶ ταῦτα αὖθις εἰς εἴδη κατωτέρω ὄντα ὑποδιαιρήσω, περὶ ὧν ἕκαςα, βραχέ ἄττα ἐπιθεωρήσω.

§ 739. Ἀναχθεῖεν δ' ἂν τὸ τῆς ἀπάτης, εἰς τὰ ἐφεξῆς κεφάλαια.

Α. Τὸ ἐκ τῆς τȣ̃ λέγοντος Αὐθεντείας.

Β. Τὸ ἐκ τῆς τȣ̃ σώματος συςασεως. ἐν ᾧ καὶ περὶ παθῶν.

Γ. Τὸ ἐκ τῆς ἀλαζονίας καὶ τȣ̃ τύφȣ.

Δ. Τὸ ἐκ τȣ̃ ὄκνȣ καὶ τῆς ῥᾳθυμίας.

Ε. Τὸ ἐκ τῆς συγχύσεως τῶν ἰδεῶν.

Ϛ. Τὸ ἐκ τῆς ἀνάγκης τȣ̃ μεταξὺ τῶν δοξασμάτων ἔντι ἑλέσθαι.

Ζ. Τὸ ἐξ αὐτῶν τῶν διανοήσεων, ἃς δὴ μάλιςα οἱ Διαλεκτικοὶ ἀπάτας εἰς μερικώτερα κεφάλαια ἀνήγαγον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

# Περὶ τῆς ἐκ τῆς Αὐθεντείας τȣ̃ λέγοντος Ἀπάτης.

§ 740. Φύσει πως οἱ παρ' ἑαυτῶν ἀνακρίνειν, τὸ περὶ ȣ̃ ἡ σκέψις, δεξιῶς μὴ ἔχοντες, τοῖς ἄλλοις πιςεύȣσι.

§ 741. Πλὴν ἐν αὐτῷ γε τȣ́τῳ, τὴν γȣ̃ν αὐθεντείαν, ἔδει τȣ̀ς τοιȣ́τȣς ἀνακρίνειν, τῶν οἷς πειθαρχȣ̃σιν.

§ 742. Τί δὲ, εἰ μηδὲ τοσȣ̃τον ἰσχύȣσιν; Οὐδὲν λοιπὸν, ἢ τῇ πρωτως ἐπιȣ́σῃ πείθεσθαι αὐθεντείᾳ. Καὶ ἐκ τύχης ἄρα μόνον ἐκφύγοι ἂν τὴν ἀπάτην, ὁ ἀγνοῶν, πότερον ἀμφιγνοητέον ἢ μή;

§ 743. Ἐν τοιᾷδε πᾶν βρέφος ἐςὶ καταςάσει, τοῖς δὲ ἰδίᾳ καὶ τȣ̃το παροπηδεῖ, ὅτι τὰς ἑαυτῶν πράξεις τῇ τῶν ἄλλων ὑποτάσσειν ὁδηγίᾳ καταναγκάζονται. Ἐπεὶ δὲ διακρίνειν ȣ̉χ οἷοιτε τὴν κατὰ τὸ πράττειν ὑποταγὴν, τῆς κατὰ τὸ φρονεῖν καὶ ὑπολαμβάνειν, αὐτῷ ἐκείνῳ καὶ τὰς ἐννοίας καθυποβάλλȣσιν, ᾧ τὰς πράξεις αὐτῶν διεξάγειν μόνας ἐπιτέτραπται.

§ 744. Τῆς δ' αὐθεντείας ȣ̃τω, ὡς μόνȣ πίςεως κανόνος, συγχωρηθέντος, παντί πȣ λόγῳ, ὃς ἂν τῷ προηγησαμένῳ μὴ ἀντιφάσκοι, ἑαυτȣ̀ς καθυπάγȣσιν.

§ 745. Διὰ δὴ τȣ̃το ἀληθῆ οἱ παῖδες πάντα νομίζȣσιν, ἅττ' ἂν παρὰ πατέρων καὶ δι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δασκάλων ϗ τῶν παραπλησίων παραδέξαιντο. Ἄυτη γὰρ αὐτοῖς ἡ αὐθεντεία παντὸς ἄλλȣ ἐςὶ κρατίςερον.

§ 746. Παρὰ ταῦτα, ϗ πᾶσι πιςεύȣσιν, ἃ ἂν ἀκȣ́σωσιν (744), εἰ μὴ ταῦτα ἀντιφάσκοντα εἴη, τοῖς ἐκ προηγησαμένης αὐθεντείας παραδεχθεῖσιν.

§ 747. Καὶ ὑπενδοιάζȣσι μὲν πολλάκις, ἀλλὰ κατ' αὐτὸ τῇ αὐθεντείᾳ ὑπείκȣσιν. Ἀκηκόασι γὰρ τȣ́τοις παραπλήσι ἄττα μυθάρια περὶ τῶν πραγμάτων συνεχῶς αὐτοῖς προβαλλόμενα.

§ 748. Διὰ πολλȣ̃ τοίνυν χρόνȣ ἑτέρῳ χρῆσθαι κανόνι ȣ̓ δύνανται. Ἀλλ' ὅσοι δὴ ϗ εἰς γῆρας ἀφικνȣ́μενοι εἰσὶν, οἷς ȣ̓δ' ἐπῆλθεν ὅλως ὑπονοῆσαι ποτὲ, μὴ τὴν ἀρίςην εἶναι ταύτην ὁδὸν, τὴν ἐπὶ τὴν γνῶσιν τῶν ὄντων φέρȣσαν;

§ 749. Ἡλικιωθεὶς ȣ̃ν ὁ παῖς, ὥςε ϗ τῷ παρ' ἑαυτῷ λόγῳ προχρῆσθαι ἄρχεσθαι, πλείςας ἤδη φέρει ἰδέας ἐκποριςάμενος κατὰ βραχύ. Ἀλλ' ἐν ταύταις, τὶς ἂν ἐξαριθμήσειε τὰς ἀπάτας ὅσαι; ϗ πῶς αὐτὸς τὸ βέβαιον ἀπὸ τȣ̃ μὴ βεβαίȣ διακρῖναι δυνήσεται; Δυχερὲς λίαν ἐςὶν ἀνθρώπῳ, ὡς ψευδὲς ὑποπτεύειν, ὃ διὰ μακρȣ̃ τȣ̃ χρόνȣ ἐν τοῖς ἀληθεύȣσιν ἔταξεν (216).

§ 750. Κρίνειν ἡ ψυχὴ τὸ τηνικαῦτα, μᾶλλον ἑδραίως ἄρχεται. τὰ μέντοι ἐκ τῶν προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λήψεων ἐπιφερόμενα συμπεράσματα, αὐτῶν ἐκείνων εἶναι κρατίςερα ᾖ δύναται.

§ 751. Ἑκάςῳ τοίνυν σπεδαςέον, τῶν τοιέτων ἀπατηλῶν ὑπολήψεων ἀπαλλαχθῆναι. τοῖς γεμὴν ἀδυνάτως ἔχεσιν ἐκ ἐπιχειρητέον. Ἀπορίαν τινὰ καθόλε ταύτην ἀσπάσασθαι περὶ πάντων ὡς πάντα ἐν τάξει τὰ κατὰ τὸν νῦν ἐκπεριελθεῖν ὄντα, ἀμήχανον, καὶ ὑπὲρ ἄνθρωπον.

§ 752. Παρὰ ταῦτα δὲ, καίτοι πολλὰ τῶν ἐν νηπιότητι παραδεχθέντων ἀβέβαια ἐςὶν, ἀλλ' ἐχὶ πάντα. διὸ ἐδὲ τῇ ψυχῇ, τε τῆς αὐθεντείας ἤδη ἀπαλλαγείσῃ ζυγε, ἀντὶ ψευδῶν ὑποληπτέον, ὅσα τῇ δόξῃ προείληφε.

§ 753. Οὐκ ἐν ἀκαρεῖ δὲ ἡ ψυχὴ εἰς τετο ἥκει κρίσεως καὶ δυνάμεως. Ἀλλὰ κατὰ βραχὺ, ἀρχὴν μὲν περὶ ἐλάσσονά τινα, εἶτα δὲ καὶ περὶ τὰ πλείω, καθ' ἑαυτὴν διορίζεσθαι δύναται, ὥςε τέως μηδὲν αὐτῇ ὕποπτον ὑπολείπεσθαι.

§ 754. Ἅλις ἂν ἔξει, ἐὰν προσέχῃ τις, ὅπῃ ἂν παρῇ περί τινος διάσκεψιν ποιήσασθαι, τὰς ἀρχὰς ἀνακρίνειν, ἐξ ὧν τὰ συμπεράσματα ἐπιφέρεται, καὶ τέτων ἀκριβῶς ἑκάςην ἰδίᾳ ἐν μέρει ζυγοςατεῖν. ὥςε μηδὲν ὅτι μὴ ἐπιφερόμενον εἴη ἐξ ἀρχῶν ἐναργεςάτων, προσίεσθαι.

§ 755. Ἔτι δὲ ἀκέοντες, καὶ ἅπερ ὡς ἀληθῆ δοξάζοντες ἐτυγχάνομεν, ταῦτα ὑπὸ ἄλλων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀντιλέγεσθαι, ἢ γȣ̃ν ἀμφιβάλλεσθαι, ἐρευνᾷν ὀφείλομεν, εἴποτε ἡμῖν ἀνακέκρινται οἱ λόγοι, οἷς ἡ ἡμετέρα δόξα ἀπισχυρίζεται· εἰ μὲν γὰρ, καὶ τȣ̀ς τῆς ἐναντίας δόξης διακριβȣ̃ν δεῖ καὶ ἐξετάζειν, καὶ μηδὲν παραλείπειν, εἰς ὅκεν ἐλευθέραν τῶν πάλαι προλήψεων τὴν ψυχὴν καταστήσαιμεν.

§ 756. Ὁ τοῖσδε τοῖς κανόσιν ἑπόμενος ἐν βραχεῖ τὴν ἐπικαρπίαν τὴν ἐκ τȣ́τȣ κομίσεται. Ἀναγκαῖον δὲ μετὰ σπȣδῆς ȣ̓ τῆς τυχȣ́σης προσέχειν, ὡς ȣ̓ περὶ ῥᾴςȣ τινὸς ὁ λόγος. τόγε μὴν ὄφελος εἰς ὑπερβολὴν τὸ ἐπίπονον ὑπερέχει.

§ 757. Τὸ μέντοι τῆς αὐθεντείας ταύτης τυραννικὸν, ȣ̓ συναπολήγει τῇ ἁπαλωτέρᾳ ἡλικίᾳ, διὰ βίȣ δὲ τὸ κράτος ἑαυτῆς ἐφαπλοῖ.

§ 758. Κατ' ἀρχὰς μὲν, μετὰ τὴν τῶν πατέρων καὶ διδασκάλων αὐθεντείαν, λίαν ἐν ἡμῖν ἰσχύει ἡ τῶν ὑπολήψεων εἰς ταὐτὸ σύνοδος (746). Ἐὰν δὲ καὶ παρὰ τῶν γονέων ᾖ παραδεδεγμένα, ὧν ὁσημέραι προσεμπεδȣμένων πυνθανόμεθα, ταῦτα ἑξῆς, ἀνεξαλείπτοις ἐν τῇ ψυχῇ χαρακτῆρσιν ἐγγεγραμμένα ἐναποκείσεται.

§ 759. Διὰ τȣ̃το δὴ σπανίως ἀπὸ τῶν κοινῇ δοξαζομένων σπανιώτατα οἱ πλεῖςοι ἀπάγονται, καὶ τὸ καινοπρεπὲς εἶναι δοκȣ̃ν ἐυτόνως ἀποκρȣ́ονται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 760. Διὰ τῦτο δὲ, καὶ οἷον ἐπιγεγραμμένη τῇ βώλῳ, ἀναφαίνεται ἡ ἀλήθεια. τὸ γὰρ ἀληθὲς ἐν χώρᾳ τινὶ νομιζόμενον εἶναι, τοῖς ψευδέσιτε καὶ ἀτοπωτάτοις ἐν ἄλλῃ χώρᾳ ἐγκαταλέγεται.

§ 761. Τὸ δὲ περὶ τῶν χορῶν, καὶ περὶ τῶν ἑταιρειῶν, καὶ κομμάτων λεγέσθω. Ἅπασαι γὰρ αἱ αἱρέσεις αἵδε, ἔχεσί τινας ἰδιαζέσας ὑπολήψεις, δι' ὧν οἱ Αἱρεσιῶται, ἢ οἱ τῦ κόμματος, καὶ τῆς ἑταιρείας ἀπὸ τῶν ἄλλων διακρίνονται.

§ 762. Τύτοις ἂν προσθείημεν, ὅτι καὶ ὡς ἀληθῆ προσίεσθαι πεφύκασιν ἄνθρωποι, ἅττα παρὰ τῶν σοφωτέρων ἥκοντα μάθοιεν, ἀντὶ τῆς σοφίας, τὴν θρασυτέραν πολλάκις προβολὴν τῦ λόγυ τιμῶντες, ἢ καὶ τὴν ἐν ὑποκρίσει σεμνότητος (ὃ πυσὶ συμβαίνει τὐναντίον) τὸ τῆς γνώσεως ἱμάτιον ἀμπιχομένην, ἀμαθίαν καὶ ἄγνοιαν.

§ 763. Πᾶσαν τὴν ἐκ τῶν εἰρημένων ἐκπηγάζυσαν ἀπάτην, ῥᾷστα ἂν ἐκκλίνοι πᾶς τις, τῇ ἐρευνῃ καὶ ἀνακρίσει μᾶλλον, ἢ τῇ αὐθεντείᾳ τῦ λέγοντος καθυπείκειν προαιρύμενος.

§ 764. Τῆς κοινῇ περιφερομένης κατὰ πᾶσαν τὴν χώραν, ἐν ᾗ τις ἤχθη, ὐδεὶς ἐλεύθερος ἐςὶν ὑπολήψεως. μία γάρ τις καὶ αὕτη τῶν ἐν ἀριθ 758 εἰρημένων. Ἐπεὶ μέν τοι καθ' ἡμέραν αὕτη ἐμπεδῦται πως χωρῦσα καὶ ςομῦται, διαφέρυσά πως καὶ κατ' αὐτὴν ἡ δυσχέρεια.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 765. Τὴν δὲ ὑπόληψιν, ἥτις ἂν ἑταιρείᾳ τινὶ, καὶ κόμματι προσιδιάζουσα ᾖ, οὐδεὶς ἂν, πρὸ τῆς ἀπαιτουμένης ἐρεύνης παραδεχθείη, τὴν προσήκουσαν σπουδὴν, εἰς ἐκφυγὴν τῆς ἀπάτης κατατιθέμενος.

§ 766. Περὶ δὲ τῆς ἐρεύνης ἐν γένει παρατηρητέον, ὡς πολλάκις, δι' αἰτίας τινὰς, οὐκ εὐπετῶς γίνεται· Ἐπιβλαβὲς τὰ πολλὰ, τῆς κοινῆς ἀφίςασθαι ὑπολήψεως· ἔνθεν τοι καὶ κατ' αὐτην τὴν ἔρευναν, ταύτην ἀληθῆ ἐλεγχθῆναι, βουλοίμεθα ἄν· καὶ ἑπομένως, τῇ ὀφειλομένῃ ἐπιμελείᾳ τοὺς ἀντικειμένους λόγους ςαθμᾶσθαι διακωλυόμεθα.

§ 767. Οἱ δὲ τὴν νέμεσιν δεδιττόμενοι τὴν παρὰ τῶν ἄλλων, μόλις ἂν καὶ ἐξετάσαι πολλὰ τῶν ζητουμένων ἐναχθεῖεν, ἵνα μὴ ὁ λόγος αὐτοῖς ἀποδείξῃ, τὴν ἀλόγως πρεσβευομένην, εὐλόγως χρῆναι ἀποδιαπομπήσασθαι δόξαν. Παρ' ὅσοις δήποτε ἔςγε καὶ καθ' ἡμᾶς αἱ ἄτοποι, καὶ παντὸς γέλωτος ἄξιαι; οὐ κρατοῦσαι εἰσὶν ὑπολήψεις, αἱ περὶ τῶν νυκτερινῶν φασμάτων καὶ μυρίων ἄλλων γοητειῶν! Ἀλλ' ἐπαπορεῖν τοῖς μυθαρίοις τούτοις; καὶ ἐκ βάθρων τὰ τῆς ἱερᾶς ἀνασκάπτειν θρησκείας, ὅμοιον κρίνεται.

§ 768. Ὁ ἐπὶ τῆς τοῦ ἀληθοῦς ἐρεύνης, ἤτοι φόβῳ βαλλόμενος, ἢ ἐλπίδι ἀγόμενος, μάτην πονεῖ. ἐπάναγκες αὐτῷ πρότερον ἀπὸ τῶν τοιούτων σπουδάσαι ἀπαλλαχθῆναι παθῶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

## Περὶ εἰδῶν Ἀπάτης τῶν ἐκ τῶν ἐπικλίσεων, καὶ τῶν παθῶν τῆς ψυχῆς.

§ 769. Τὴν τοῦ ἀνθρωπίνου σύστασιν σώματος, αἰτίαν ἀπάτης παντοίας καθίστασθαι ῥᾴδιον ἐστὶ συνιδεῖν. Ἐκ γὰρ τῆς ποιᾶς τῆσδε συστάσεως αἱ ἐπικλίσεις ἤρτηνται (211) καὶ ἄνευ τῶν κατὰ τὸ σῶμα κινημάτων, τὰ τῆς ψυχῆς πάθη, οὐ διεγείρεται (212).

§ 770. Ἡ καθ' ἡμέραν δὲ ἡμᾶς ἐκδιδάσκει πεῖρα, ὅτι ἐνίοτε μὲν, καὶ ἐφ' οἷς σμικρὸν ὅσον τἀληθὲς ἀναφαίνεται, συγκατατίθεσθαι ἄνθρωποι φιλοῦσιν, οὓς ἄλλοτε, οὐδὲ τὸ ἀκμαιότατον φῶς περιαστράψαν ἐκίνησεν. Ἀλλὰ καὶ ἐν διαφέρουσι κατὰ τοῦτο οὐ μικρὰν ὁρῶμεν τὴν διαφορὰν, ἣν ἄντις μόναις ταῖς κατὰ φύσιν ἀποδώσειεν ἐπικλίσεσι· κατὰ γὰρ τὸ διάφορον τῆς σωματικῆς ἑκάστου συστάσεως, διαφέρει καὶ τὰ ἀρέσκοντα. ὅτι δὲ ἀρέσκοντα ἐστὶ, διὰ τοῦτο καὶ ἀληθῆ εἶναι κρίνεται.

§ 771. Βουλῆς περί τινος συνισταμένης, καὶ τοῦ πρακτέου ζητουμένου, τὰ μὲν βιαιότερα ἀρέσκει, τοῖς ὀργῆς ἥττοσι καὶ ὧν τῇ φύσει δριμύτης ἐπικάθηται. οἱ δὲ δηλοὶ τοὐναντίον, τὰ ἐπιεικέστερα δοκιμάζουσιν· οἷς δ' ἂν ἔτι βραδυτέρα ἡ φύσις ᾖ, τὰ τῆς ψήφου εἰς ἕτερον καιρὸν ἀναβάλλειν χαίρουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 772. Εἰδότα ἓν ἕκαςον καλῶς τὰ τῆς κατ᾽ αὐτὸν ἐπικλίσεως, ὅποι ῥέπει, ἐν αὐτῇ τῇ τῶν πραγμάτων ἀνακρίσει ἐπιμελῶς παρατηρεῖν προσήκει, μήποτε ἐξ ἐμφύτε, τῆς αὐτῷ ἐνέσης ῥοπῆς, μᾶλλον, ἢ ἐκ τῆς δυνάμεως τῶν λόγων, εἰς τἔτο γνώμης νένευκε.

§ 773. Τὰ τῆς ψυχῆς πάθη, τὸ γαληναῖον αὐτῆς καὶ ἤρεμον διαθορυβἔσι τἔ καταςήματος· θορυβεμένη δὲ, ἐ ῥᾴδιον ἐπικρίνειν, ὅσα δέον ἦν εἰς ἐπίλυσιν τἔ ζητήματος.

§ 774. Ὁ ὑπὸ πάθες τινὸς κινέμενος, τειάσδε τὰ πολλὰ ἀιατυπἔται ἰδέας, οἷαι αἱ πρὸς αὐτὸν ὧδε ἔχοιτα ὁπωσἔν ἔχεσαι εἰσὶν. ὑπὸ γὰρ τῶν ἄλλως ἐχεσῶν μόλις ἂν διατεθείη

§ 775. Ἀφεκτέον τοίνυν, ὑπὸ πάθες τῆς ψυχῆς τεταραγμένης, περὶ πραγμάτων κρίνειν, ἢ βελεύεσθαι ἐπιχειρεῖν, ἃ καὶ τὴν τυχἔσαν πρὸς τὸ κρατἔν πάθος ἔχεσιν ἀναφορὰν, καὶ μάλιςα, εἰ ἐνακμάζον εἴη τὸ πάθος, καὶ βιαιότερον.

§ 776. Εἰς μνήμην τηνικαῦτα μόνον ἀναπεμπαςέον ἄττα περὶ τἔ προκειμένε ἄλλοτε ἔφθημεν προειληφότες, καὶ προαποφηνάμενοι· ἢ γἔν ἀμφιγνοεῖν αἱρετέον, καὶ ὑπενδοιάζειν, κἂν ἡμῖν οἱ προβαλλόμενοι δοκῶσι λόγοι, καθαρῶς ἔχειν καὶ σαφῶς.

§ 777. Ἔςι δὲ καὶ πάθη, ἐν οἷς ὑπολανθάνει ἡ τῆς ψυχῆς κίνησις, ὡς ἐπὶ τῆς εὐνοίας, ἢ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς δυσνοίας· ἐν τούτοις γὰρ τοσούτῳ μᾶλλον περιεσκεμμένως χωρεῖν προσήκει, ὅσῳ ἐλάσσων ἀναφαίνεται ἡ τῆς ἀπάτης ὑπόνοια.

§ 778. Οἷς εὐνοοῦντές εἰσιν, ἅπαντα σχεδὸν ἄνθρωποι ἐπαινεῖν εἰώθασι καὶ δοκιμάζειν· οἷς δὲ τὸ ἀνάπαλιν δυσμενῶς ἔχοντες, οὐδὲν ὅ,τι καὶ ἀγαθὸν ἐνορᾷν δοκοῦσι· καὶ τὸ τυχὸν, ἅλις ἂν ἔχοι, ὥστε βεβαίως προσρίψαι, τὸ κατὰ τοῦ δύσνου λεγομένον. ὁπότε, εἰ περὶ τοῦ εὔνου ἐλέγετο, οὐδὲ τὰ ἐναργέστατα εἰς πίστιν ἐξήρκεσεν ἄν. Ἔτι δὲ καὶ τὰ πράγματα μὴ ἐνὸν ἀπαναίνεσθαι, αὐτῶν μεταποιεῖν πως τὴν φύσιν ἐπιχειροῦσι. ἢ ἅποτε, πρὶν ἢ τὸν διαπραξάμενον ἐν τῷ φανερῷ γενέσθαι, δυσμενείας ἔμφασιν ἔχουσι περιεσημαίνετο τοῖς ὀνόμασι, νῦν ἐπεὶ περὶ εὔνου τινὸς ὁ λόγος, κουφότερά τε κρίνεται ἐλλείμματα εἶναι, ἢ πολλῶν ἕνεκα καὶ συγγνώμης ἄξια.

§ 779. Ἔστι δὲ τὰς τοιαύτας ὑπερβαίνειν ῥᾳδίως ἐξαπάτας, εἰ, ὁσάκις περὶ τῶν ἀνηκόντων τοῖς εὐνοοῦσιν ἢ δυσνοοῦσιν ἡμῖν πρόκειται κρίνειν, τὰ λεγόμενα πρὸς ἄλλους μεταφέροιμεν, πρὸς οὓς οὐδεμία σχέσις ὅλως ἡμῖν περίεστι. μᾶλλον δὲ, ὁπηνίκα περὶ εὔνου ζητεῖται, προσεκτέον, τίποτ᾽ ἂν δόξειεν, εἰ ταῦτα περὶ δύσνου ἐλέγετο, καὶ ἀνάπαλιν· ῥᾴδιον γὰρ οὕτως ξυνιδεῖν, ἥτινα ῥοπὴν τὸ πάθος ἐν ἡμῖν κέκτηται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

### Περὶ ἀπάτης τῆς ἐξ ἀλαζονίας καὶ τύφȣ.

§ 780. Φύσει πως παντὸς πᾶς τις χαίρει ὑπερεξαίρεσθαι. ἐκ δὲ ταύτης οἷα πηγῆς, τοσȣ̃τον ἀπάτης ἀποῤῥεῖ, ὡς περ͂ργȣ ἂν ἔσεσθαι, εἰ περὶ τȣ́των ἰδίᾳ πραγματευσαίμεθα.

§ 781. Ὁ ὑπὲρ τὸ μέτριον δοξομανῶν, ȣ̓χὶ τὸ ἀληθὲς ἐκ τῆς περὶ τȣ̀ς λόγȣς Φιλοπονίας σκοπὸν ἑαυτῷ, καὶ τέλος προβάλλεται, τὸ δὲ ἐκ τῆς μελέτης ἀφορᾷ κλέος μόνον, ὃ ἂν ἑαυτῷ περιποιήσαιτο.

§ 782. Οὐκ ἐν ἅπασιν ὁ σκοπὸς ȣ̃τος ἐπιμεμπτέος, εἴπερ ὁ ἕτερος πρότερος τάττοιτο, τȣ̃ ἐπωφελεῖς δηλονότι, ἢ ἀληθεῖς περὶ τῶν ὄντων ὑπολήψεις καὶ δόξας πορίσασθαι. Ἀλλ᾽ ὁ λόγος ἐνταῦθα περὶ τῶν τȣ́τȣ μηδὲν τὸ παράπαν ἐπιςρεφομένων, ἓν δὲ τȣ̃το ἢ μόνον ζητȣ́ντων, ὅπως ῥᾷςα, ἢ ἐντὸς ὀλίγȣ τȣ̃ χρόνȣ, τȣ̃ ἐκ τῆς σοφίας κλέȣς ἐπιτεύξονται.

§ 783. Αἱρȣ̃νται γȣ̃ν τῶν ἐπιςημῶν οἱ τοιȣ̃τοι, ὅσαι κατ᾽ ἐκεῖνο καὶ τῆς χώρας ἢ τȣ̃ χρόνȣ, ἔνθα, ἢ ὅτε τὰς διατριβὰς μέλλȣσιν ἕξειν, πρὸ τῶν ἄλλων τίθενται· καὶ τȣ́των δὲ ἐκεῖνα μόνα ἐκλέγονται, δι᾽ ὧν ἂν τοῖς ἀπαιδευτοτέροις ἀπάτην ἐμποιήσειν ἐλπίζȣσι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 784. Οἱ δὲ αὐτὴν τὴν κατὰ γένος ἐπιςήμην ἀσπάζονται, ἢ μᾶλλον, αὐτῆς θηρῶνται τὔνομα ψιλόν. ἐκ πάσης μὲν ἐπιςημῶν ἰδέας, ἔςιν ὅ,τι ἀναμανθάνοντες, ὅσον ἀρκέσειν σφίσι ἡγῶνται, τῷ ἀπαιδεύτῳ ὄχλῳ παραπεῖσαι, ὡς τὰ πάντα εἰδότας ἔχειν αὐτὸς διὰ θαύματος.

§ 785. Πλεῖσον δέτοι λόγον ποιῦνται, πάντα ἀμαθίας ἔλεγχον διαφεύγειν. Καὶ περὶ μὲν, ὧν αὐτοὶ ἐφικέσθαι ὐχ᾽ οἷοιτ᾽ ἐγένοντο, ὕτω φθέγγονται, ὡς περὶ πραγμάτων, ἃ ὑπερπαίει μὲν τὴν ἀνθρώπων δύναμιν, χωρῆσαι δὲ δι᾽ αὐτῶν ὐδὲν πώποτε ἐξεγένετο. Ἐνίοτε δὲ ταῦτα, σὺν ἐκείνοις, οἷς ἥκιςα προσέχον, ὐδενὸς ἄξια εἶναι φασὶν. ὡς εἰ μηδὲν ἕτερον εἴη τῶν λόγων ἐπωφελὲς, μηδέν τε ἄξιον σπυδῆς, παρ᾽ ὃ αὐτοὶ κατέμαθόν τε καὶ κατενόησαν.

§ 786. Οἱ δὲ τὴν ἀντικειμένην τρέπονται, ἵνα δὴ κλέος καὶ φήμην ἄρωνται. τὰ μὲν γὰρ ἐυχερῆτε, καὶ ῥαδίως τοῖς ἄλλοις ξυνετὰ, ὑπερφρονῦσι, τοῖς δὲ δυσχερεςέροις μόνον, καὶ ἀσαφεςέροις ἐν ἐπιςήμαις, σχολάζυσι, καὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειρῦσι· καὶ πολλὰ μὲν ἀναγινώσκυσι, πολλὰ δὲ τῇ μνήμῃ ἀποταμιεύυσι, τήν τε ψυχὴν ὕτως ἐμπιπλᾶσι, πολλῶν ἰδεῶν φύρδην τε καὶ ἀτάκτως συμπεφορημένων.

§ 787. Τὸ μὲν ὖν πολλάτε ἀνεγνωκέναι, καὶ πολλὰ τῇ μνήμῃ ἐναποθέσθαι, πρὸς ἐπιβολὴν ἐπιςήμης καὶ γνώσεως ἀποθησαύρισιν ὐκ ἀσυντελὲς ὐδ᾽ ἀνόητον. τῦτ᾽ δὲ μόνον ὐκ ἔςιν ἐπίςασθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 788. Ἅπαντας τοὺς ὑπὸ κενῆς ἐχομένους φιλοδοξίας, εἰς ἀναριθμήτους ὡς εἰκὸς περιπίπτειν ἀπάτας, φανερόν· τοῦτο δὲ μάλιστα σημειωτέον, ὅτι αἱ τοιαίδε ἀπάται, ἀνεπίδεκτοι εἰσὶ διορθώσεως, ἐφ᾽ ὅσον τῆς καταγελάστου ταύτης φιλοδοξίας, ἥσσων ἡ φιλαλήθεια γίνεται.

§ 789. Τίς γάρ ποτε τὰς αἷς περιπεπτώκει ἐξαπάτας, οἷος ἔσω ἐπιδιορθώσασθαι, εἰ μὴ ἑτοίμως ἔχει, ὅτι ἐξηπάτηται ὁμολογῆσαι; Ἀλλ᾽ οἱ περὶ ὧν ὁ λόγος, τοὐναντίον, καὶ τὴν περιοῦσαν σφίσιν ἀμαθίαν κρύπτειν ἄμεινον ὑπολαμβάνουσι, καὶ ταύτης τὸν ἔλεγχον διαδιδράσκουσιν (785). Διὸ καὶ μένειν ἐν τῇ ἀπαιδευσίᾳ μᾶλλον αἱροῦνται, ἢ δοκεῖν τι παρ᾽ ἄλλων ἐκμαθεῖν ἐνδεῶς ἔχειν.

§ 790. Καὶ εἰ βιβλία συγγράφειν ἀναβάλλονται, οὐχὶ τὴν τῶν μετελευσομένων λυσιτέλειαν σκοποῦσιν, ἀλλὰ τὴν ἰδίαν ἀείποτε δόξαν πρὸ ὀφθαλμῶν ἔχουσιν. Ἀλλὰ γὰρ (ἐφ᾽ ᾧ τοὺς σοφωτέρους, μὴ οἴεσθαι ἐκλανθάνειν) τὰ πολλὰ τοῦ σκοποῦ ἀποτυγχάνοντες εἰσὶ, τῶν συγγραμμάτων αὐτοῖς κατολιγωρουμένων. Εἰ δὲ καὶ ποτὲ κατ᾽ ἔφεσιν αὐτοῖς προβαίνειν ἔδοξε τὸ ἐγχείρημα, ἀλλ᾽ ἡ πεῖρα ὑπέδειξε, μὴ μέγα τι ἐκτετάσθαι τῶν τοιούτων πονημάτων τὸ κλέος μηδ᾽ ἐπὶ πολὺν χρόνον διαρκέσαι.

§ 791. Οὐκ ἂν ἡμῖν εἴη δυσχερὲς ὑποθέσθαι ἐνταῦθα, οἵοις δήποτε τρόποις, σμικρῷ πόνῳ,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βίβλους ἂν εἴη ὑπερμεγέθεις συγγράφειν. Καὶ τίσι δή ποτε προσέχειν δεῖ, ἵνα τις τὴν παρὰ τῶν ἀμαθῶν καρπώσηται δόξαν, ἐπί τε πολυμαθείας πυκνότητι, καὶ ἐπιστήμης βαθύτητι· ἀλλὰ τὴν τοιαύτην τέχνην ἐκδιδάξαι τοῦ καθ' ἡμᾶς σκοποῦ πάμπαν ἀλλότριον ἐστίν.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

## Περὶ ἀπάτης τῆς ἐξ ὀκνηρίας τε καὶ ῥαθυμίας.

§ 792. Πάνυ εἰσὶν ὀλίγοι, οἱ μόνῳ τῷ ἔρωτι τῆς ἀληθείας ἀγόμενοι, ἐν τῷ σχολάζειν τοῖς μαθήμασι· σπάνιοι γὰρ οἱ διὰ τόνδε μόνον, ὑπερτέρους ἑαυτοὺς ἁπάσης ἁπαντώσης δυσχερείας ποιούμενοι· τὸ γάρ τοι πλεῖστον τῆς ἐπιδόσεως, τῇ ἀνάγκῃ τὰ πολλὰ προσοφείλεται, ἤ τινι ἐνσκήπτοντι ἰσχυροτέρῳ παθήματι.

§ 793. Οὐ γὰρ εὐκόλως, τῆς φύσει πως παροπηδούσης ἀνθρώποις ῥαθυμίας, κρατοῦσιν, ἥτις πολλῆς ἀπάτης αἰτία καθίσταται. τὴν μακρὰν καὶ δυσχερεστέραν οἱ πλείους ἔρευναν παραιτοῦνται, τὴν μετριωτέραν σφίσιν ἅλις γε ἔχειν ἡγούμενοι· ἔνθεντοι, καὶ τὴν τυχοῦσαν μεταξὺ τῶν ἰδεῶν ἐμφέρειαν συνιδόντες, ὡς τῷ παντὶ ταύτας συμφωνούσας ἀλλήλαις κρίνουσιν.

§ 793 Πολλοὶ δὲ μόνοις ἐκείνοις προσέχουσι τὴν διάνοιαν, ὧν ἀμοιρεῖν μὴ θέμις αὐτοῖς εἶναι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡγεῖνται, τῶν δὲ λοιπῶν ἁπάντων ὑπερφρονῦσι· διὸ κ᾽ ὕτως ἀτελεῖς τὰς ἰδέας πορίζονται τῶν πραγμάτων, ὡς τὴν παῤ αὐτοῖς ἐπιςήμην, μηδὲν τῆς ἀνεπιςημοσύνης χείρονα εἶναι.

§ 794. Δόξαν γὰρ ἀσπάζονται, τὴν μηδενὶ θεμελίῳ ἐπερειδομένην· ἀλλὰ κ᾽ λόγȣ ἄνευ ἰσχυρῦ παρόντος, δόξαν αὖθις ἀμείβῦσι. Μαρτυρίαις πιςεύȣσι ταῖς παρὰ τῶν ἄλλων, κ᾽ ἐπὶ τῶν τῇ Μαθηματικῇ βεβαιότητι προσανηκόντων. τῶν δὲ λόγων ὑπ᾽ ἐκείνων μάλιςα ἄγονται, οἵπερ ἂν ἔχατον τῶν ἄλλων αὐτοῖς προβαλλόμενοι τύχωσιν.

§ 795. Ἐὰν δὲ περὶ τῦ πιθανῦ λόγος ᾖ, τῆς διασκέψεως παραμελῦσι τῶν ἀντιθέτων, ὑφ᾽ ὧν μειῦται τὸ πιθανὸν κ᾽ κολȣέεται· ἢ κ᾽ τῷ ἧττον πιθανῷ πειθαρχῦσιν, ὡς εἴπερ ἦν πιθανώτατον. ὐδὲ συνορᾶν ἔχȣσι τὰ πολλὰ, ὅτι τῆς πιθανότητος ἐξικέσθαι ἄλλως ὐχ οἷον τε, εἰ μὴ τῇ συνδρομῇ λόγων πλειόνων εὖ εἰς πειθὼ ἐχόντων. καὶ ὀλιγαρίθμοις τοίνυν ςέργȣσιν ἐπιχειρήμασι, τῶν πλειόνων ὡς ἀλυσιτελῶν ἄρα διὰ τῦτο κ᾽ μόνον ἀλογῦντες, ὅτι μὴ ῥᾷςα καὶ ἀπόνως, τὸ διὰ πλειόνων ἥκειν αὐτοῖς περιγίνεται.

§ 796. Τῇ δ᾽ αὐτῇ ταύτῃ περὶ ἧς ὁ λόγος ἐπὶ τῦ παρόντος ἡμῖν, ῥαθυμίᾳ, καὶ τὸ τῆς ἰσχυρογνωμοσύνης ἀποδοτέον, δι᾽ ἧς καρτερῶς πολλοὶ, κ᾽ δυσαποσπάςως ἔχονται, ἥπερ ἅπαξ ἠσπάσαντο δόξης, μηδὲν ὑφιέντες. καί τοι αὐτῆς ἐπικρατεςέρας δοκȣσης δι᾽ ὐδὲν ἄλλο, ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι πρὸ οἱασοῦν ἄλλης φθάσασα τούτοις προβέβληται.

§ 797. Πολλάκις δὲ, καὶ θερμοτάτῳ ἔρωτι καὶ πόθῳ, τῇ κτήσει ἐπιστήμης τινὸς ἑαυτοὺς παραδεδωκότες, ὡς ἂν πόνων ἄνευ καὶ προσοχῆς, συμβάλλοιντο χωρεῖν ἐπὶ τὰ πρόσω μὴ δύνασθαι, ἀπ᾿ ἐλπίδος ἁπάσης γίνονται· καὶ τῆς μελέτης ἀπαχθέντες, τῆς ἐν ἀρχῇ προτεθείσης, ἐφ᾿ ἑτέραν τρέπονται, ἧς μετ᾿ οὐ πολὺ παραπλησίως ἀμελοῦσι.

§ 798. Ἀγωνιστέον οὖν ἅπασι, τῆς φυσικῆς ταύτης ῥᾳθυμίας κρατεῖν. τῷ γὰρ σπουδῇ τινι ἀφοσιουμένῳ, ζητητέον ὅθεν ἂν, καὶ διὰ τίνος ὁδοῦ, ἐπὶ τὸ στεῤῥὸν τῆς ἐπιστήμης διεξελθεῖν αὐτῷ ἔσται. σπανίως δὲ ἡ ἀπονωτέρα, καὶ συντομωτέρα, ἡ ἐπ᾿ ἐκείνην ἄγουσα εἶναι εὕρηται.

## ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

## Περὶ τῆς ἀπάτης τῆς ἐκ συγχύσεως τῶν ἰδεῶν.

§ 799. Καὶ αἱ ἀναφυόμεναι δὲ ἐκ τῆς τῶν ἰδεῶν συγχύσεως ἀπάται, ἐπὶ πολὺ χωροῦσαι εἰσί. ταύταις μάλιστα τετραχῶς περιπίπτειν πεφύκαμεν.

Α. Τὰς σχετικὰς τῶν ἰδεῶν, ὡς ἀπολύτους ἡγούμενοι (377).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Β. Τὰς ἀφῃρημένας ἀντὶ τῶν συγκεκριμένων (348).

Γ. Τὰς διακεκριμένας ἀντὶ τῶν ἐναργῶν (343. 335).

Δ. Τὰς συμπεπλεγμένας ἀντὶ τῶν συνθέτων (331).

§ 800. Περὶ πασῶν τετωνὶ τῶν κατὰ τὰς ἰδέας διαιρέσεων, φθάσαντες διειλήφαμεν. Οὐδὲν δὲ δέον τὰ προειλημμένα ἀναμασσᾶν, σημειωτέον μόνον, ὡς πρὸς τὰ ἀναπτυχθέντα προσέχειν δεῖ, ἐφ᾽ ᾧ μὴ ἐξαπατᾶσθαι. ὅ διά τινων ἤδη παραδειγμάτων ὑποθησόμεθα.

§ 801. Α΄. Ἡ τῆς χέσεως ἰδέα, ἐδὲν ἡμῖν ἔξω τῆς ψυχῆς ὑφεςὼς παρίςησιν (378). γεννᾶται δὲ αὕτη τῇ παραθέσει δυεῖν ἑτέρων ἰδεῶν (23. 377). ἐκεῖν παρὰ πόδας ἡ ἐξαπάτη, ὁσάκις ἡ ἰδέα αὕτη, ὥστι πραγματιωδῶς ὂν παριςάνεσα, θεωρεῖται (378). ἢ ὁσάκις ἡ χέσις αὕτη πρὸς ἰδέας ἀνάγεται, αἳ παραβολῆς τῆς πρὸς ἀλλήλας ἐκ ἔτυχον· ὅπερ μάλιςα πρὸς τὴν γενικωτέραν παρατήρησιν τῶν κρίσεων ἀνάγοιτο ἂν (450. 474). Αἱ μὲν ἐν ἐξαπάται αὗται κοιναὶ λίαν ϗ δημώδεις εἰσίν.

§ 802. Οἱ περὶ τε μεγέθες λέγοντες, ὡς περὶ ἀπολύτε τινὸς ἰδέας, ἀπάτῃ περιπίπτεσι. Μέγας τὴν φύσιν λέγεταί τις, ἐκ ἄλλως, εἰμὴ κατὰ τὴν πρὸς τὲς λοιπὲς ἀνθρώπους ἀναφορὰν (382).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 803. Οἱ τοῦ Ὑπερτάτου Ὄντος τὰ ποιήματα τοῖς ὀφθαλμοῖς ἐπιόντες, καὶ τὸ κατὰ τοὺς πλανήτας σύνταγμα ἀνασκοποῦντες, καὶ τὸ πανσθενὲς τοῦ Δημιουργοῦ ἀγάμενοι, δεόντως πείθονται, ὑπὸ τῆς ἐκείνου σοφίας τὰ θεσπέσια ταῦτα διεξάγεσθαι σώματα· καὶ τούτων ἑκάστου τὰς πορείας, ἀπ' αἰῶνος ὑπ' αὐτοῦ προδιωρισμένας εἶναι.

Ἀλλ' ἐάν που κατίδωσιν οὗτοι κόνιν ὑπ' ἀνέμου διασκεδαννυμένην, οὐκ ἂν ὑπὸ τοῦ Φαινομένου ἐπὶ τὸν Δημιουργὸν ἀναχθεῖεν τῇ διανοίᾳ. Ἄτοπον γὰρ αὐτοῖς δοκεῖ καὶ τὸν κονιορτὸν αὐτὸν ὑπὸ τοῦ Θεοῦ προδιατετάχθαι· ἕκαστά τε τῶν μορίων, νόμοις στεῤῥοῖς πειθαρχοῦντα, τὴν τεταγμένην σφίσι περαίνειν πορείαν, ἣν προαιωνίως τὸ Θεῖον ἑαυτῷ παροῦσαν προείληφε.

Πόθεν οὖν ἡ διαφορὰ αὕτη; ἢ ὅτι νομίζουσιν ἐν τοῖς σώμασι, καὶ ἐν τῇ τούτων αὐτῶν διατάξει; εἶναί τι πρὸς τὸν ὑπέρτατον τοῦ παντὸς Κοσμήτορα, τὸ μὲν μεῖζον; τὸ δὲ ἔλαττον;

§ 804 Ἔστι τις ἀπόλυτος κίνησις, τοῖς τῷ ἀπεράντῳ καὶ ἀκινήτῳ διαστήματι προσέχουσι τὴν διάνοιαν· ἀλλ' ἡ τοιάδε κίνησις τοῖς ἀνθρώποις ἥκιστα τυγχάνει ληπτή. πᾶσα κίνησις ἡ αἰσθήσει καθυποπίπτουσα, ἐστὶ σχετική. Ἠρεμία δὲ καὶ κίνησις σχετικῶς διαφέρουσιν· ἥτε τούτων μεταξὺ χωροῦσα διαφορὰ, οὐκ ἐν αὐτῷ τῷ ὑποκειμένῳ ζητητέα, ἀλλ' ἐν ταῖς ἰδέαις, αἷς προσέχει, ὁ ἀντιλαμβανόμενος τῆς κινήσεως, ἢ περὶ αὐτῆς κρίνων· ὡσαύτως δὲ καὶ αἱ ἰδέαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς τε αὐξήσεως ἐν τῇ κινήσει, καὶ τῆς κατ' αὐτὴν ἀπομειώσεως, σχετικαί εἰσιν. Ἡ αὐτὴ τῆς κινήσεως μεταβολὴ, τοῖς μὲν ὡς αὔξησις τίθεται, τοῖς δὲ ὡς μείωσις. καὶ τὸ ἐνεργεῖν δὲ καὶ πάσχειν, ἐπὶ τῶν ἐν κινήσει σωμάτων, οὐκ ἀπολύτως δήπου, κατὰ σχέσιν δὲ μόνον διενηνόχασιν.

§ 805. Β. Ἃ μὲν οὖν περὶ τῶν κατὰ σχέσιν ἰδεῶν παρατετήρηται (801), καὶ ἐπὶ τὰς κατ' ἀφαίρεσιν ἂν ἀναχθεῖεν. οὐδὲ γὰρ οὐδ' αὗται τι ἔξω τῆς ψυχῆς ὑφεστὰς ἡμῖν παριστῶσι (353)· καὶ ὁσάκις ἄρα ταύτῃ γε ταύτας, ὡς τῶν ἐκτὸς ἡμῶν τινος παραστατικὰς τελούσας ἀφορῶμεν, ἐν ἀπάτῃ ἐσμὲν (354).

§ 806. Περὶ τοῦ ὄντος κατὰ γένος, ὅπερ ὡς ὑφεστῶς τινες ἀναπολοῦντες εἰσὶν, ἀνωτέρω διείληπται (355).

§ 807. Ἔνθα καὶ τὸ τεθρυλλημένον ἀνήκει ζήτημα, τὸ περὶ τοῦ καθόλου, ὡς ἐκ τοῦ πράγματος, θερμῶς μεταξὺ τῶν Σχολαστικῶν συγκροτηθὲν, καὶ διὰ παντοίων λεπτολογιῶν, καὶ συνεσκοτισμένων διαιρέσεων, πυκνῷ τῷ ζόφῳ περικαλυφθέν· καίτοι τοιοῦτον ὂν, οἷον ἁπλῶς προβληθὲν, μηδεμίαν ἔχειν δυσχέρειαν (355).

§ 808. Πλεῖστα τοῖς Μαθηματικῆς ἀντιβάλλεται, περὶ τῶν σημείων, καὶ τῶν γραμμῶν, καὶ τῶν ἐπιφανειῶν, ἃ πάντα ἀδύνατα εἶναι λέγεται, καὶ τὰ κατ' αὐτῶν ἑπομένως ἀποδεικνύμενα ἄτοπα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ μὴν προσέχȣσιν ὅτι σημεῖα, ᾗ γραμμαὶ, καὶ ἐπιφάνειαι ἐπὶ τῶν σωμάτων τῷ ὄντι εἰσὶ, καὶ ἐπὶ παντὸς ὃ ἔχει ἔκτασιν, κατὰ μῆκος, καὶ πλάτος, καὶ βάθος περατȣ̃θαι νοȣ́μενον, ȣ̓κ ἄλλως ἔχει θεωρεῖσθαι, εἰ μὴ ἐν μέρει κατ᾽ ἀφαίρεσιν θεωρȣ́μενα. καίπερ ἡ χωρὶς ἀναπολȣμένη τοιάδε ὕπαρξις, ἐφ᾽ ᾧ τὰ ὑπὸ τῶν Μαθηματικῶν δεικνύμενα ἐπαληθεύειν, ȣ̓δὲν συντελεῖ.

§ 809. Γ. Κοινὸν ἐςὶ, τὸ τὰς διακεκριμένας ἰδέας, ἀντὶ τῶν ἐναργῶν ἐκδέχεσθαι· τοιαύτη γὰρ τȣ̃ πράγματος θίξας τις γνώσει, ὡς ἄλλȣ παντὸς αὐτὸ διαςέλλειν, κἂν μηδὲν πλέον περὶ αὐτȣ̃ γνῶναι περιῇ, ȣ̓δὲν λανθάνειν αὐτὸν ἡγεῖται τῶν ἐν τῷ πράγματι.

§ 810. Ἀλλ᾽ ἔςι τȣ̃το ἀληθὲς, ὅταν ȣ̓ περὶ τῶν πράγματι ὑφεςώτων ὁ λόγος, ἀλλὰ περὶ τῶν κατ᾽ ἰδέαν μόνον· τηνικαῦτα γὰρ, πᾶσα ἰδέα διακεκριμένη, καὶ ἐναργὴς ἐςὶ (347).

§ 811. Τῶν γεμὴν ὑπαρχόντων αἱ διακρίσεις, κατὰ χέσιν πρὸς τὴν ἡμετέραν γνῶσιν εἰσίν. ȣ̓δὲ ἀείποτε ἅπασιν, οἷς περὶ τȣ̃ πράγματος ἴσμεν, προσέχομεν, ἵνα παντὸς ἄλλȣ τȣ̃το ἀντιδιέλωμεν. Τὸ σφαιρικὸν σῶμα, παντὸς ἄλλȣ διακρίναι ἔχω, καίτοι τὰ σφαιρικὰ σώματα, ἀναριθμήτοις τρόποις ἀπ᾽ ἀλλήλων διενηνόχασιν.

§ 812. Τὸν χρυσὸν ἀπὸ τῶν ἄλλων διακρίνω σωμάτων, τῷ τε χρώματι, ᾗ τῇ εἰδικῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαρύτητι, καὶ ἄλλαις ἔτι ἰδιότησιν. Ἀλλ' ἐκ ἂν παρὰ τȣ̃το ἀποφήνασθαι τολμήσαιμι, μεταξὺ χρυσȣ̃ καὶ χρυσȣ̃ ἐδεμίαν εἶναι ὅλως διαφορὰν. πλὴν τȣ̃ λεγομένȣ χρυσȣ̃, εὐκρινῆ την ἰδέαν κέκτημαι (343. 534).

§ 813. Τὰς ἐναργεῖς ἰδέας ταῖς διακεκριμέναις συναναφύρȣσι, οἱ φάσκοντες τῶν ὄντων τȣ̀ς ȣ̓σιώδεις λόγȣς κατειληφέναι (18. 184).

§ 814. Ὥσπερ καὶ οἱ διατεινόμενοι, ȣ̓κ ἀγνοȣμένας ἡμῖν εἶναι τὰς ἀρχὰς ἁπάσας, ἐξ ὧν τῶν κατὰ φύσιν φαινομένων τὰ αἴτια ἐπιφέρεσθαι δύναντα.

§ 815. Τȣ̃δε τȣ̃ κόμματος καὶ αἱ ἀπάται εἰσὶν, ἐν αἷς συνεχέστατα περιπίπτȣσιν, οἱ περὶ τῶν πράξεων τῶν ἄλλων ἀνθρώπων συλλογιζόμενοι.

§ 816. Δ. Ἡ ἐσχάτη τῶν ἰδεῶν σύγχυσις, περὶ ἧς ὧδε πραγματευτέον, ἀφορᾷ τὰς συνεζευγμένας. (159) Συχνὰ συμβαίνει, τὰς, ἅσπερ ἅμα ἐποριςάμεθα ἰδέας, ἢ ἃς περ ἅμα πολλάκις συμπροσειλήφαμεν ἀναπεμπασάμενοι· ἢ ἃς ἐπί τινος κατὰ μέρος συμβέβηκε, κατὰ τρόπον πάνυ αἰσθητὸν ἡμῖν συνδραμεῖν, ταύτας, εἰ καὶ ὅλως ἀπ' ἀλλήλων διακέκριμέναι εἰσὶν, ἡμᾶς μὴ ἔχειν διαχωρίζειν αὐτάς. Διὸ καὶ ὡς εἰ τῷ αὐτῷ προσανηκȣ́σας ὑποκειμένῳ, τιθέαμεν τὰς τοιαύτας, ἐξ ȣ̃ ὑπὲρ ἀριθμὸν εἶναι τὰς ἀναφυομένας ἀπάτας, παντί πȣ δῆλον.

O

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 817. Τεθρίππῳ τις ἐποχέμενος, ἐκ ἀπαθῶς περιετράπη πεσών. τῷ ἐν παραπλησίῳ ὀχήματι, ἐδέποτε ἐξῆς δειλίας ἄνευ προχερήσεται. καί τοι εἴδη ὀχημάτων ἄλλα, θαῤῥαλέῳ ψυχῇ καὶ ἡσύχῳ, ὁσημέραι ἢ μᾶλλον τυχὸν ἐπικίνδυνα ἐποχεῖται.

§ 818. Παῖς τις τὴν μητέρα πολλάκις, ἢ τὴν θεραπαίνην, ἐπὶ μυῒ ὀφθέντι, καταπτήξασαν θεασαμένη, ἢ λειποθυμήσεσαν, εἴποτε ἐπιὸν ἑαυτῇ τὸ δεινὸν αἴσθοιτο, μᾶλλον ἂν διὰ πυρὸς διέλθοι, ἢ δι᾽ ἧς ἀπαντῆσαι τῷ μυῒ ὑποπτεύοιτο.

§ 819. Ἀλλ᾽ ἔςι καί τινος χρείας, ἡ τοιάδε τῶν ἰδεῶν σύζευξις.

§ 820. Οὐκ ἄν ποτε ςερεᾶς ἂν εἴη ἐγκαθήμενον τῇ ψυχῇ, τὸ τῶν ἡγεμένων πρὸς τὲς ὑπ᾽ αὐτοῖς κράτος, εἰ μὴ ἡ κατ᾽ αὐτὸ ἰδέα, τῇ τῆς αἰδῆς καὶ τῆ φόβε ἀχωρίςως συζεύγνοιτο. τέτων τῶν ἰδεῶν ἀπ᾽ ἀλλήλων διαζευχθεισῶν, οἱ ὑπὸ χεῖρα, τῶν ἀρχόντων ἀείποτε εἰσὶν ἰχυρώτεροι.

§ 821. Ἐπίσημον, τῆ ἀποτελέσματος τῆς τοιᾶσδε τῶν ἰδεῶν συζυγίας, ὑπόδειγμα ἔχομεν, ἐν τῷ δελικῷ τῶν Σκυθῶν πολέμῳ· οἱ γὰρ τοῖς ὅπλοις μὴ ὑπενδόντες, τῆς μάςιγος ἔπειτα αὐτοῖς ἐπισειομένης ὑπέκλιναν, ὡς μετὰ Ἡρόδοτον ἱςορεῖ καὶ Ἰεςῖνος βιβλ. β. κεφ. ε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

# Περὶ τῆς ἀπάτης ἐφ᾽ οἷς ἐπάναγκες τῶν πλειόνων μίαν ἀνθελέσθαι δόξαν.

§ 822. Περὶ τῶν μήπω, ὅσον ἅλις ἀνακεκριμένων, ἐπάναγκες ὂν τὰ πολλὰ, τὸ δοκοῦν ἀποφήνασθαι, πολλαῖς ἐντεῦθεν τοὺς ἀνθρώπους συμβαίνει περιπίπτειν ἀπάταις, ἃς ῥᾷστα ἂν ἐκκλῖναι δυνηθεῖεν, εἰ αὐτοῖς προσέχειν ἐπετρέπετο τοῖς ἐφεπομένοις.

§ 823. Α'. Καὶ τῶν ὑποκειμένων πολλάκις οὐκ ἐπ᾽ ἀκριβὲς γινωσκομένων, ἀλλ᾽ ἃ περὶ αὐτὰ κρίνειν δέον, οὐκ ἀγνοεῖται. διὸ, καὶ τῆς ἀπάτης κρείττονες φαινοίμεθα ἄν, εἰ τούτοις μόνοις προσείχομεν τὴν διάνοιαν. Ἀλλὰ γὰρ ἐν τούτοις ὡς τὰ πολλὰ, περὶ τῶν ἐν τοῖς πράγμασιν ἀγνοουμένων, καὶ περὶ ὧν οὐκ ἔστιν ὁ παρὼν λόγος, κρίνειν προαγόμεθα.

§ 824. Οὐδεὶς ἂν ἀγνοήσειεν, ὅτι τὸ παρ᾽ ἑαυτοῦ φωτὶ ὁ ἥλιος τὴν γῆν καταυγάζει καὶ περιθάλπει. ἀλλὰ καὶ ταῖς καθ᾽ ἑαυτὸν ἐγχειρήσων πράξεσιν, τὴν ἐκ τῆς ἀνατολῆς τοῦ φωστῆρος ὥραν, κατάγε τὴν ἐν ᾗ διατρίβει χώραν, ὁποσοῦν γοῦν, οὐδεὶς ἐστὶν ὁ ἀγνοῶν.

Ὁ τοίνυν περὶ ταῦτα, ἐν ᾧ διανοούμενος ἐστὶ περὶ τοῦ ἡλίου, τὴν κρίσιν τὴν ἑαυτοῦ ἐμπεριορίζων, οὐκ ἂν εὐχερῶς τοῦ ἀληθοῦς ἀπάγοιτο. Ἀλλά τίς ἐστιν ὅλως τῶν πάντων ἀν-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρώπων, ὅς ἐν ᾧ τὸν ἥλιον ἀναπολεῖ, τοῦ καὶ περὶ τοῦ μεγέθους αὐτοῦ καὶ τῆς ἀποστάσεως κρίνειν πάντη ἀπέχεται; οὐδὲν οὖν θαυμαστὸν, εἰ ψευδεῖς ἑαυτῷ περὶ τῶν τοιούτων ἀναπλάττει τὰς ὑπολήψεις, ἀπάντων ἄμοιρος ὤν, δι' ὧν ἂν πρὸς τὴν ἀληθῆ τῶν τοιούτων γνῶσιν ἐξίκοιτο.

§ 825. Β'. Εἰ δὲ περί τινος εἴη ὁ λόγος ἀμφισβητησίμου, ἀνάγκη δὲ κατεπείγοι, περὶ αὐτὰ ἤδη τὰ ἀγνοούμενα ἐφεῖναι τὴν αἵρεσιν, τὸ τῆς ἀμφιβολίας τηνικαῦτα ἀφορᾷ τὸ πρακτέον· οὐδεὶς γὰρ ἄλλως, ἐκ διαφόρων δοξασμάτων, ἕν τι ὁποιονοῦν ἑλέσθαι ἀναγκασθήσεται. τῆς γὰρ ἐναργείας ἀπούσης, ἀμφιγνοεῖν ἀεὶ ἔχει τε, καὶ ὀφείλει.

§ 826. Εἰδέ τι πρακτέον εἴη, καὶ ἐξετάσαι περαιτέρω οὐκ ἐφεῖται περὶ τοῦ πράγματος, τὴν ἀσφαλεστέραν δοκοῦσαν βαίνειν χρεών. Εἰ δὲ μηδὲ τοῦτο κρῖναι γένοιτο, τὸ μᾶλλον πιθανὸν αἱρετέον.

§ 827. Πρὸς δὲ δὴ τοῦτο οὐκ ἔστι χρεία συγκαταθέσεως· ἔνθεντοι καὶ τότε, ἐνδοιαστέον, περὶ τὸ μὴ ἀποχρώντως ἔκδηλον.

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

## Περὶ Σοφισμάτων.

§ 828. Περὶ τῶν αἰτίων, οἷς ἐπὶ τὸ κρίνειν ἐπισφαλῶς, ἢ μὴ ὀρθῶς ἐπιφέρειν ἐκ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κειμένων, ἐναγόμεθα, ἐν τοῖς πρὸ τέτε κεφαλαίοις διήλθομεν. Περὶ δὲ αὐτῶν τῶν ψευδῶν συμπερασμάτων, ἢ τῶν ἐν χρήσει πολλάκις γενομένων τοῖς σοφιςαῖς ἀπατηλῶν ἐλέγχων, οἷς τὰ σαφῆ, ζόφῳ περιβάλλειν διαφιλονεικȢ̃ντες ἐγένοιτο, βραχέα ἐπὶ τȢ̃ παρόντος πραγματεύσομαι, ἐπὶ τὰς κλάσεις αὐτȢ̃ς ἀνακαλέσας, ἐφ' ἃς οἱ διαλεκτικοὶ κοινῶς ἀνάγειν εἰώθασιν.

§ 829. Διαιρεῖται τὰ Σοφίσματα, εἰς τὰ **Γραμματικὰ** λέγομενα, ἢ τὰ **Λογικά**.

§ 830. Καὶ τὸ μὲν Γραμματικὸν Σόφισμα, τὸν νȢ̃ν ἀφορᾷ τῆς λέξεως. καθ' ὧν τήνδε ἢ μόνην τὴν παραίνεσιν ἐνθάδε ὑποθετέον, τȢ̃ προσέχειν δεῖν τῷ νοήματι, πρὸς ἐκφυγὴν τῆς ἐκ τῆς λεξέως σοφιςικῆς πλεκτάνης.

§ 831. Τὰ δέτοι λογικὰ τῶν σοφισμάτων, κατὰ τὰ ἑξῆς κεφάλαια εἰώθασι διακρίνεσθαι.

§ 832. Πρῶτον ἐςὶν ἡ τȢ̃ **ἐλέγχȢ ἄγνοια.** Ἔλεγχος δὲ τὸ ἐν χερσὶ τῇ σκέψει ὑποβαλλόμενον. τὸ δὲ ἀγνοεῖται ἀπὸ τȢ̃ ἐνιςαμένȢ τῇ θέσει, ἡνίκα ἕτος συνορᾷν ȣ̓κ ἔχει τὶς ποτε αὐτῷ δεικτέα πρότασις, ἐπ' ἀναιρέσει τῆς θέσεως.

§ 833. Ἀγνοȣ̃σι τὸν ἔλεγχον, οἱ τῇ κατα Νεύθωνα ὁλκῇ ἀντιβαίνοντες, εἶτα περὶ αὐτῆς συλλογιζόμενοι, ὡς περὶ αἰτίȣ ἀσαφȣ̃ς,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁπότε ϰ περὶ αἰτίϰ, περὶ δὲ ἀποτελέσματος ἐςὶν ὁ λόγος.

§ 834. Δεύτερον· τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, ἡνίκα, ὡς θεμέλιος τϰ συλλογισμϰ καθυποβάλλεται, αὐτὸ ἐκεῖνο, ὃ δεῖξαι πρόκειται.

§ 835. Τοιϰτον ἐςὶ τὸ ὑπό τινων, τῇ τϰ ποσϰ ἐπ᾽ ἄπειρον διαιρέσει ἀντιπροβάλλϰσιν, ϰ βάσις ὅτι ἡ κατὰ διαδοχὴν ποσότης, τϰτέςιν ὁ χρόνος, ϰχ ϰτως ἐςὶ διαιρετός.

§ 836. Τρίτον· τὸ μὴ αἴτιον ὡς αἴτιον. Οὕτω σοφιςεύϰσιν οἱ ἔκ τινος ὅπερ αἰτία ϰκ ἔςι, συλλογιζόμενοι, ὡς ἐξ αἰτίας.

§ 837. Εἰς τϰτο τῆς ἀτοπίας περιπίπτϰσιν, οἱ τοῖς κομήταις ἀνατιθέμενοι, πολλὰ τῶν ἐν ἀνθρώποις συμβαινόντων.

§ 838. Κἀνταῦθα, καὶ τὰ ὑπὸ πολλῶν Φιλοσόφων, ὕλῃ ϰκ οἶδ᾽ ᾗτινι λεπτοτάτῃ, ὡς αἰτίᾳ ἀπονεμόμενα.

§ 839. Τέταρτον· τὸ παρὰ τὴν ἀτελῆ ἐξαρίθμησιν. ὅτε τι ὡς ἀληθὲς εὐτόνως διϊσχυρίζονται συμπεραίνεσθαι, δι᾽ ἐπαριθμήσεως πάντων τῶν τρόπων, καθ᾽ ϰς εἶναί τι δύναται, ϰς καὶ ἀποβάλλϰσι, πλὴν ἑνός. Οὐ πέφυκε δὲ λανθάνειν τὸ σαθρὸν τϰ ἐπιχειρήματος, τῆς κατὰ τὴν ἐπαρίθμησιν ἐλλείψεως, ἐλεγχομένης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ παράδειγμα τȣ̃δε τȣ̃ σοφίσματος ἀνωτέρω ὑπηνιξάμεθα ( 304. 305 ).

§ 840. Καὶ ὅτε δὲ κατὰ τȣ̃ ὅλȣ εἰσβάλλομεν, τὸ περὶ ἑκάςȣ τῶν μερῶν ἀποδεικνύμενον, εἰς τȣ̃το περιπίπτομεν τὸ σόφισμα, ἐάν τι τῶν μερῶν, τῆς ἐξαριθμήσεως ἔξω λείπηται.

Εἴ τις καταλέξας ἅπαντα τὰ τὴν Εὐρώπην οἰκȣ̃ντα ἔθνη, παρὰ τȣ̀ς τελȣ̃ντας ὑπὸ τῷ Ὀθωμανικῷ κράτει, ἐπιφέροι ὅτι ἅπασα ἡ Εὐρώπη τὴν εἰς Χριςὸν πίςιν ἀσπάζεται, διὰ τὸ χριςιανίζειν τῶν ἐθνῶν ὅσα ἠρίθμηται· ȣ̓κ ἂν ὀρθῶς συμπεραίνοι διὰ τὸ ἀτελὲς τῆς ἐξαριθμήσεως.

§ 841. Πέμπτον· **τὸ παρὰ τὸ συμβεβηκὸς σόφισμα**· εἰς ὃ περιπίπτȣσιν, οἱ ἁπλῶς τινι ϗ̀ ἀπολύτως ἀποδιδόντες, τὸ κατὰ συμβεβηκὸς μόνον αὐτῷ προσῆκον.

§ 842. Οὕτω συλλογίζονται, οἱ ἐκ παραθέσεως τινῶν παρατηρήσεων τῶν πλανητῶν, πρὸς τὰς μεταβολὰς τῆς ἀτμοσφαίρας, συμπεραίνοντες, ὅτι μετὰ τὴν ἐπάνοδον τῆς αὐτῆς τῶν ȣ̓ρανίων σωμάτων πρὸς ἄλληλα χέσεως, ἡ αὐτὴ ϗ̀ τῷ ἀέρι ἐπανήξει κατάςασις.

§ 843. Ἕκτον· **τὸ παρὰ τὴν σύνθεσιν**· ὅτε κατά τινων συνημμένων καταφάσκεται, τ' κατ' αὐτῶν ἐν μέρει ἀληθεῦον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 844. Τὸ **παρὰ τὴν διαίρεσιν**, ὅτε κατὰ τῶν διῃρημένων καταφάσκεται, ὃ κατὰ τῶν συνημμένων ἀληθεύει λεγόμενον.

§ 845. Οἷον **τῇ ἠρεμίᾳ ἐδεμία ἔνεςι δύναμις**, ἀληθὴς ἡ πρότασις· πλὴν ἐδ' αὕτη ψευδομένη ἐςὶν, ὅτι **τὸ ἠρεμῦν σῶμα τῇ κινήσει ἀνθέςηκεν**. Ἡ μὲν γὰρ πρώτη ἀληθεύεσα ἐςὶ διαιρέσει, ἐχὶ συνθέσει, ὅπε τὸ ἐνεργῦν προσεφηρμόσθαι νοεῖται τῷ σώματι. Οὕτω δὲ ἡ δευτέρα πρότασις ἀληθείας ἔχεται, ἥτις ἄλλως ἐν διαιρέσει ψεύδοιτο ἂν, ὅτε τὸ σῶμα ἀπὸ τῆς εἰς τῦτο ἐνεργείας νοεῖται διεζευγμένον.

§ 746. Ἕβδομον **ἡ ἀπὸ τῦ κατά τι ἐπὶ τὸ ἁπλῶς μετάβασις λεγόμενον, ἢ ἀνάπαλιν.**

Οὕτω σοφίζονται, οἱ κατὰ γένος περί τε ἀποφαινόμενοι, τὸ κατά τινα λόγον μόνον ἀληθεῦον, ἢ καὶ ἀνάπαλιν.

§ 847. Συνετῶς τις περί τι διετέλεσεν ἔχων, ἐκεῖν συνετὸς ἔτος ἐν ἅπασι. Ψευδὲς τὸ ἐπιφερόμενον εἴη ἄν. τὸ γὰρ κατά τι ἀληθὲς, ἁπλῶς εἴληπται.

§ 848. Εἴη δ' ἂν τῦ προτεθέντος ἐναντίον μὲν, ψευδὲς δ' ἐδὲν ἧττον συμπέρασμα, εἴπερ, ἐκ τῦ ἐγκρατῶς ἔχειν ἐπιςήμης τινὸς, ἐπι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φέροιμι, ὅτι τῷ αὐτῷ, καὶ πάντα δῆλα, ὅσα τινὶ τῶν ἐν μέρει ζητουμένων ἀνήκει. τὸ γὰρ ἐπιστήμῃ τινὶ ἐμμελετῆσαι, καὶ ταύτην ἀκριβῶς κατανενοηκέναι, οὐ ταυτὸν ἐστὶ, τὸ ἰδίᾳ χωρὶς ἐξηρευνηκέναι, ἅπαντα ὅσα κατ᾽ αὐτὴν τὴν ἐπιστημην δύναται κινηθῆναι ζητήματα.

§ 849. Ὄγδοον· ἡ ἀπὸ γένους εἰς γένος μετάβασις, εἰ τὸ περί τινος δεικνυμενον, μεταφέροιτο ἐπὶ τὸ τῷ παντὶ διαφέρον.

Οὕτω σοφίζονται, οἱ μετὰ τὸ ἀποδεῖξαι τι κατὰ τῶν τῆς φύσεως νόμων τυγχάνειν ἀντιστρατευόμενον, καὶ ταύτῃ δὲ καὶ ἀδύνατον ὄν, εἰσβάλλουσιν, ὡς οὐδὲ ὑπερφυῶς καὶ παραδόξως τοῦτο τελεσθῆναι δυνήσεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΒΙΒΛΙΟΝ Β΄.
# ΤΗΣ ΛΟΓΙΚΗΣ.

## ΜΕ΄ΡΟΣ Γ.
## ΠΕΡΙ ΜΕΘΟΔΟΥ.

### ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

### Περὶ διαφερȣσῶν Μεθόδων.

§ 850. Λειπόμενον ἤδη ἐςὶ, τὴν ὁδὸν ὑποδεῖξαι, ἣν ἂν, ὁ ἐπιμελῶς τὰ ἄχρι τȣ̃δε ἀναπτυχθέντα ἐκμελετήσας, βαδίσειεν, ὅπως ἂν ἐπὶ τὴν τῶν πραγμάτων γνῶσιν ἀφίκοιτο, ὧν τὴν ἀνάκρισιν ἑαυτῷ τύχοι προθέμενος.

§ 851. Κατὰ γȣ̃ν τὴν τῶν προκειμένων διαφορὰν, διαφερȣ́σῃ ϗ τῇ μεθόδῳ ἕπεσθαι δεῖ.

Πρῶτον ȣ̃ν περὶ Μεθόδȣ τῆς εὑρέσεως πραγματεύσομαι.

Εἶτα δὲ, ϗ περὶ τῆς τȣ̃ ἀναπτύσσειν τοῖς ἄλλοις, ἅττα ἡμῖν κατὰ νȣ̃ν ἐγένετο.

§ 852. Τȣ́των ἡ μὲν Μέθοδος Ἀναλυτικὴ καλεῖται, ἡ δὲ Συνθετική.

§ 853. Ἐν γένει δὲ διαφέρȣσιν αἱ Μέθοδοι αὗται ἐν τȣ́τῳ· ἐν ἐκείνῃ μὲν γὰρ, ἀπὸ τȣ̃ συνθέτȣ ἐπὶ τὸ ἁπλȣ̃ν χωρȣ̃μεν κατὰ ἀνάλυσιν, ἐν ταύτῃ δὲ ἀνάπαλιν.

§ 854. Ἀλλὰ ϗ ἑτέρῳ λόγῳ αὗται διενηνόχασι. κατὰ γὰρ τὴν ἀναλυτικὴν, ἄλλως ȣ̓κ οἷοντε, εἰ μὴ διὰ δυσκολιῶν, ἀπὸ τȣ̃ συν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέτε ἐπὶ τὰς ἁπλεςέρας ἀρχὰς προβῆναι, κἂν αὐτοῖς ἐκείνοις, ἐν οἷς ἔπειτα, εὐμαρῶς τὴν εὐθυτέραν τε καὶ ὁμαλωτέραν ὁδὸν ἐξευρίσκομεν, δι' ἧς ἂν κατὰ σύνθεσιν, ἀπὸ τῶν ἀρχῶν καταβῆναι δυναίμεθα ἐπὶ τὰ ἐξ αὐτῶν.

§ 855. Ταῖς δὲ ταῖς Μεθόδοις, καὶ τρίτη ἂν προςεθείη, ἡ Μέθοδος δηλαδὴ τȣ̃ μανθάνειν, περὶ ἧς βραχέ' ἄττα παρατηρητέον, προδιελθόντας πρῶτον, τὰ ταῖς δυσὶν ἄλλαις ἀνήκοντα.

§ 856. Κοινὸν ἁπάσαις ἐςὶ ταῖς Μεθόδοις, ἵν' ὁ τῇ θήρᾳ τȣ̃ ἀληθȣ̃ς ἀφοσιέμενος, ȣ̃τως ἔχοι γνώμης καὶ διαθέσεως, ὡς μηδενὶ, εἰ μήτι ἐναργὲς εἴη, συγκατατίθεσθαι, ᾗ σπȣδὴν ποιοῖτο, ἐκ μέσȣ ἑαυτῷ ποιῆσαι, πᾶν ὅ,τι πρὸς ἀπάτην ἐςὶ φορόν. Ἕπεται δὲ τȣ̃το ἐκ πάντων τῶν ἄχρι τȣ̃δε ἀναπτυχθέντων.

§ 857. Παρὰ ταῦτα δὲ πάρεργȣ ἂν εἴη, καὶ τὰς φυσικὰς δυνάμεις, αἷς ἕκαςος ἐπὶ τῶν τοιȣ́των προχρήσεται, ὡς οἷόν τε ἐπιμελῶς πειρᾶσθαι προάγειν· ἐκείνας λέγω, αἳ πρὸς τὴν κατανόησιν τῶν ὄντων, ὁπωσȣ̃ν ἀναφοράν τινα ἔχȣσαι εἰσίν.

§ 858. Εἰσὶ δὲ αὗται· Α'. τὸ πλείȣς ἅμα ἰδέας κατὰ τὸ αὐτὸ ἐπιθεωρεῖν. Β'. τὸ ἰδέας μέσας τινὰς ἐξευρίσκειν, ἐπειδὰν ἀμέσως αἱ ἰδέαι ἀλλήλαις εἰσὶν ἀπαράθετοι. ἐπεὶ δὲ ἀμφοτέρων τȣ́των ἡ ἀρτίασις ἀπό τε τῆς προσοχῆς, καὶ ἀπὸ τῆς μνήμης ἐςὶν, ȣ̓δὲ τȣ́των παραμελητέον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Περὶ γὖν τῶν εἰς τόνδε τὸν σκοπὸν ἄγειν δυναμένων πρὸ πάντων, πραγματευτέον.

## ΚΕΦΑΛΑΙΟΝ Λ'.

## Περὶ προκοπῆς τῆς τῦ νοεῖν δυνάμεως.

§ 859. Ὅτι δὲ ὀ τολμηρόν ἐςὶ τὸ προβαλλόμενον, τὴν τῆς ψυχῆς δηλονότι νοητικὴν δύναμιν, ἐκ τέχνης προάγεσθαι πεφυκέναι, ἀρκέσει δὴ τὰς ἄλλας ἐν ἀνθρώπῳ δυνάμεις διασκεψάμενον, πρὸς τὸ αὐτὸ εἰσβαλεῖν.

§ 860. Οὐδεμία γὰρ ἐν ἀνθρώπῳ δύναμις τῦ ποιεῖν ἐςὶν, ἐφ᾽ ἧς τι κράτος ἔχεν ἡ βέλησις, ἡ μὴ διά τε τέχνης καὶ ἀσκήσεως, εἰς τελειότητα ἐπιδιδῦσα.

§ 861. Ἐὰν γὰρ περὶ τῶν κατὰ τὸ σῶμα ὁ λόγος ᾖ, παρακρινέσθω ἀγροῖκος, ὁ πρὸς ὐδὲν ἄλλο τοῖς ποσὶ ποτὲ κεχρημένος, εἰ μὴ εἰς τὸ ὀπίσω τῦ ἀρότρυ πορεύεσθαι, πρὸς δεξιὸν ὀρχηςὴν· ὅση γὰρ ἀμύθητος ἡ μεταξὺ τύτων διαφορά! Καὶ εἰ τυχὸν ἐπὶ τῦ πρώτυ, μόνης τῆς ἐκ φύσεως διαθέσεως θεωρυμένης, εὐκαμπτότερα εἴη τὰ μέλη, καὶ μᾶλλον συγκεκροτημένα εἰς κίνησιν.

§ 862. Ἕκαςος πρὸς τὸ μὴ πεσεῖν, θαυμαςῇ τινι διηνεκῶς χρῆται μεθόδῳ· ἐν ᾧ γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τῦ σώματος βάρος, καθ' οἵαν δήτινα κάμψιν, πρὸς θάτερα αὔξει, τῇ τῶν ἄλλων μερῶν κινήσει αὐτίκα ἀποκαθίςαται τὸ ἀντίῤῥοπον. Ῥοπῇ τινι φυσικῇ τῦτὶ τὰ πολλὰ ἀπονέμεται· τέχνῃ ὅμως τινὶ, ἐκ συνεχῦς ἀσκήσεως συμπεπορισμένῃ, προδήλως ὀφείλεται.

§ 863. Οἱ μὲν γὰρ παῖδες, κατ' ἀρχὰς εὐθὺς ἀπὸ γενέσεως, εἰς ἐνιαυτῦς τινὰς, τῆς τοιᾶσδε τέχνης ἀμοιρῦσι τὸ σύνολον· ταύτην γὰρ κατὰ βραχὺ τελειῦσθαι, συνεχῶς αὐτὴν ἐπάναγκες ὂν διὰ τὴν χρείαν ἀσκεῖσθαι, παρατηρεῖν ῥᾴδιον· ἥνπερ ἔπειτα, καὶ μὴ προσέχοντες εἰς ἔργον ἕκαςοι ἄγυσι, καθάπερ δὴ καὶ μυσικὸς εὐρύθμως τὺς δακτύλυς κινεῖ, μηδὲ συνορᾷν ὅλως ἔχων, ὡς ἢ βραχὺ γῦν εἰς τῦτο τυγχάνει, τῷ τῆς ψυχῆς προσεκτικῷ χρώμενος.

§ 864. Περὶ τῶν αἰσθήσεων, εἴδομεν ἐν κεφαλαίῳ ΙΔ, ὅτι τέχνης ἄνευ, ὐδεμία μονονυχὶ τύτων ἡ χρῆσις.

§ 865. Τὰ αὐτὰ ταῦτα, καὶ πρὸς τὰς τῆς ψυχῆς ὁποιασῦν δυνάμεις, μεταφέρειν ἐςί. τὰ κατ' ἀρχὰς, δυχερῆ τε καὶ μόλις ἀνυςὰ δοκῦντα, πυκνῇ μελέτῃ καὶ γυμνασίᾳ, εὐχερῆ τε ἅπαντᾷ τέως ἢ λεῖα, ὡς ἐκ τῆς καθ' ἡμέραν πείρας ἐκδιδασκόμεθα.

§ 866. Ἀληθὲς μὲν ὖν ἐςὶ, μάλιςα συντελεῖν ἢ τὰ τῆς φύσεως πλεονεκτήματα. τύτων γὰρ ἀπόντων, ἡ τέχνη ὐδὲν ὀνίνησιν. ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπερ ἡ φύσις παρέχε, τȢθ' ἡ τέχνη ἐπιγενομένη εἰς θαῦμα προάγει ϗ τελειοῖ. τὸ γὰρ αὐτὸ καὶ ἄμεινον, καὶ ἐν ἐλάσσονι τῷ χρόνῳ τελεῖται, ἐὰν, τὸ τῆς ἀσκήσεως, ὑπὸ κανόνων τινῶν, τȢτέστιν ἐκ τέχνης, διεξάγηται.

§ 867. Ἵνα δὲ ἀσκήσει τὸ νοητικὸν τῆς ψυχῆς προσαύξοιτο, κατ' ἀρχὰς βραχεῖαι μὲν τῶν ἰδεῶν ἅμα αὐτῇ εἰσὶ προθετέαι. ὡς δ' ἂν προσεθισθείη ταύτας ἀναθεωρεῖν, ϗ πρὸς ἀλλήλας παραβάλλειν, πλείονες ἔτι αὐτῇ προσενεκτέαι, ἵνα δὴ καὶ ταύτας ἅμα διασκέπτεσθαι συνεθισθείη. οὕτως Ȣν εὐτάκτως τῆς ἀσκήσεως προϊȢσης, παντὶ ἡ φύσις ἐπεκτανθῆναι δυνήσεται.

§ 868. Ταῦτα δὲ εἰς πρᾶξιν ἄγομεν, ἐπιστήμῃ τινὶ τὴν ψυχὴν προσανατιθέμενοι, τοιᾷδε τάξει τὰ κατ' αὐτὴν διοικονομȢσῃ, ὡς προτιθέναι μὲν πρῶτον τὰ ῥᾴδια, ἐπιφέρειν δὲ ἐπὶ τȢτοις τὰ δυσχερέστερα· ταύτῃ δήπȢ, ὥστε μηδαμῶς ἐπὶ τὰ προσωτέρω προϊέναι, εἰ μὴ τὰ προηγηθέντα, ἔξω πάσης ἀμφιβολίας φθάσῃ τασσόμενα.

§ 869. Οὕτω καὶ γὰρ, Ȣχ ὅπως ἡ δύναμις, τȢ πλείστας ἅμα τῶν ἰδεῶν κατὰ τὸ αὐτὰ ἐπιθεωρεῖν, ἐπαύξεται προαγομένη, ἀλλὰ δὴ ϗ ἡ ψυχὴ αὐτὴ, ἐν ταύτῃ ἔμπεδος ὀχυρȢται τῇ διαθέσει, τȢ πρὸς μηδὲν, ὅ,τι μὴ ἐναργὲς εἴη συννεύειν καὶ κατατίθεσθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§70. Ταῦτα δὲ ἐκ ἂν ἀποχρήσειε μόνα. Ἀμέλειτοι ἐκ ἂν ἄλις ἔχοι, εἰς τὴν τῆς νοητικῆς δυνάμεως ἐπίδοσιν, ἵνα τις ῥᾷον, τῇ ἐπιπλοκῇ ἰδεῶν πλειόνων ἐπιβάλλειν ἔχοι, τῶν ἐν τάξει αὐτῷ καθυποβαλλομένων· ἀλλὰ καὶ ἐν οἷς περὶ ἰδεῶν ὁ λόγος τῶν μὴ ἀμέσως, δι' ἄλλων δὲ πλειόνων μεσιτευϐσῶν, παρακρίνεσθαι δυναμένων, ἐπάναγκες τὰς μεσιτευϐσας ταύτας ἀνευρίσκειν (727). Καὶ δεῖ ἰδιαιτέρας πρὸς τϐτο ἀσκήσεως, εἰς πορισμόν τε καὶ προκοπὴν τῆς τοιᾶς δε δεξιότητος.

§ 871. Τϐτο δὲ λαβεῖν ἔξεσαι, σχολάσασαν τὴν ψυχὴν τῇ ἐπιςήμῃ, περὶ ἣν αὐτῇ πραγματεύσασθαι πρόκειται. Οὕτω δέ τοι, ὡς ἀρχὴν μὲν εἰς ἀνεύρεσιν ὀλίγων τινῶν ἰδεῶν, ἐφεξῆς δὲ καὶ πλειόνων, γυμνάζεσθαι.

§ 872. Εἴπερ ϐν ἤδη, μεταξὺ τῶν ἐπιςημων ἁπασῶν ἐκείνας ἑλέσθαι βϐλοίμεθα, αἵ, ἐπὶ τὸ προκείμενον τέλος, ἀσφαλέςερον τῶν ἄλλων χειραγωγϐσι, φανερὸν ὃ ταύτας ζητητέον ἂν εἴη ἐκ τῆς μαθήσεως.

§ 873. Ἐπὶ τῆς Γεωμετρίας ἐντελῶς εὑρίσκομεν, τὰ σημειωθέντα (868). Ἐν ταύτῃ γὰρ ἁπλαῖ μὲν αἱ ἀρχαὶ, ἀναντίῤῥητα δὲ τα ἐπιφερόμενα· βαθμηδὸν δὲ ἡ πρόοδος ἀπὸ τῶν προχειροτάτων τε καὶ ἁπλϐςάτων, ἐπὶ τὰ δυσχερέςερα καὶ μάλιςα σύνθετα.

§ 874. Ἐπὶ τῆς Ἀριθμητικῆς καὶ τῆς καλϐμένης Ἀλγέβρης ἀνακαλύπτομεν, τὰ κατὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τέχνην τῆς εὑρέσεως ἐπιζητέμενα (871). Οὐ περὶ τῶν ἁπλεςέρων Ἀριθμητικῶν τε καὶ ἀλγεβραϊκῶν μεθόδων ὧδε ὁ λόγος, ἀλλὰ περὶ τῆς εὑρέσεως τῶν ἀναγκαίων ὄντων, κατὰ τὴν τῶν προβλημάτων ἐπίλυσιν.

§ 875. Οὐ μὴν τάσδε μόνας τὰς ἐπιςήμας, τὸ περὶ ὃ πρόκειται διελθεῖν, ἀποχρῆναι διατεινόμεθα τέλει· καὶ γὰρ καὶ ἐν ἄλλαις αὐτὰ ταῦτα δυνησόμεθα ἔχειν, ἅττα ἀπαιτεῖσθαι ἔφημεν (868. 871), εἰ μόνον μεθόδῳ τῇ προσηκέσῃ, τὰ ἐν αὐταῖς διοικονομοῖτο.

§ 876. Τἕτο γε μὴν καὶ διατειναίμην, τήν τε Γεωμετρίαν καὶ τὴν Ἄλγεβραν, ταύτῃ γε πασῶν τῶν ἄλλων ἐπιςημῶν ὑπερέχειν.

§ 877. Οὐκ ἀπόχρη δὲ μιᾷ γε καὶ μόνῃ ἐπιςήμῃ τὴν ψυχὴν ἀφοσιώσασθαι. ὅσῳ γάρ τοι μᾶλλον, αἱ ἰδέαι, ἃς ἡ ψυχὴ συμπορίζεται, καὶ περὶ ἃς διανοεῖται, ἀλλήλων εἰσὶ διαφέρεσαι, τοσέτῳ μᾶλλον καὶ ἡ τε νοητικε δύναμις ἐπεκτείνεται καὶ τελειἕται.

§ 878. Κατὰ τὰς Μαθηματικὰς τῶν ἐπιςημῶν, τῆς ἀσκήσεως εὖ διατεταγμένης, ἐντελέςεραι καθίςανται αἱ δυνάμεις, ὧν ἀνωτέρω ἐμνήσθημεν.

Προσαπαιτεῖται δὲ, ἵν᾽ αὗται, νῦν μὲν περὶ τάσδε, νῦν δὲ περὶ τάσδε τὰς ἄλλας, καὶ τῶν Μαθηματικῶν διαφερέσας ἰδέας, ἐξασκοῖντο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 879. Οἱ τῇ διασκέψει ἑνός τινος μόνον ἰδεῶν εἴδες προσειθισμένοι, καί τοι περὶ τὰς τοιάς δε τρίβωνες ὄντες δεξιῶς ἔχεσι, περίγε μὴν τὰ ἄλλα ἀφυῶς τυγχάνεσι διανοέμενοι.

§ 880. Ἐκκαμπὲς τὸ εὐφυὲς τῆς ψυχῆς παρασκευαςέον. Γένοιτο δ᾽ ἂν, τῆς ψυχῆς περὶ πλεῖςα, διαφορὰν ἀπ᾽ ἀλλήλων μεγίςην ἔχοντα, ἐνασχολεμένης.

§ 881. Οὐ τοιαύτην τὴν τε νοεῖν δύναμιν ἐκ τῆς φύσεως λαβόντες διατελεσιν οἱ ἄνθρωποι, ὥςε, ὅσῃ ἂν ἐπιμελίᾳ ἢ μελέτῃ προσχρήσαιντο, καθόλε τινὰ συμπορίσεσθαι ἐλπίσειν τὴν περὶ παντὸς ἐπιςήμην. ἕκαςος ἐκείνῳ ἀφοσιῶσαι ἑαυτὸν ὀφείλει τῷ εἴδει, δι᾽ ὃ πλείονα ἂν τοῖς ὁμογενέσι παράσχοιτο τὴν λυσιτέλειαν. Παρὰ τετο μέν τοι, καὶ τῶν ἄλλων προσπορίσαθαι τὴν γνῶσιν, σπεδαςέον, εἴπερ οἷον τε.

§ 882. Ἰδιαίτερόν τι εἶδος τις σπεδῆς ἀνθελόμενος, μὴ περὶ τὰ ἄλλα, τελάχιςον τὰ κυριώτερα, πάντῃ ἀπείρως τε ἢ ἀδαῶς ἔχειν, ἐπιμελείσθω. ἕτω γὰρ ὁ μόνον περὶ ἐκεῖνα, ὧν τὴν γνῶσιν ἠρετίσατο ἑαυτῷ, μείζονα τὴν προκόπὴν λήψεται (ἐδὲ γὰρ ἔςι τις ἐπιςήμη, ἢ μή τι καὶ παρὰ τῶν ἄλλων ὁπωσῦν ἐρανιζομένη). ἀλλὰ πρὸ πάντων διὰ τετε, ἢ τὴν φύσιν δεξιωτέραν ἐν γένει περὶ τὸ ἐπίςαθαι, πλετήσει.

§ 883. Τετῳ δὲ καὶ μάλιςα προσεκτέον, τὸ τὴν ψυχὴν προσεθίζειν, ταῖς ἐν ἀφαιρέσει προσενδιατρίβειν ἐννοίαις τε ἢ διασκέψεσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁπηνίκα δέοι τὰς ἰδέας παραβάλλειν ἀλλήλαις, ἐκ ἂν τῦτο σαφέςερον ἢ καθαρώτερον γένοιτο, ἢ ὅτε ταύτας ἀπὸ τῶν ἄλλων χωρὶς καθ' ἑαυτὰς ςήσαντες ἐξετάζομεν.

§ 884. Εἰς δὲ τὴν περὶ ταῦτα τῆς ψυχῆς συγγυμνασίαν, πολλὴν ἡ μεταφυσικὴ θεωρία παρέχεται τὴν ὄνησιν· εἰ μόνον ἐξ αὐτῆς ἅπασαι ὅσαι συγκεχυμέναι τῶν ἰδεῶν εἰσὶ, πόῤῥω βάλλοιντο, αἱ δὲ λοιπαὶ τάξει κατὰ φύσιν χωρέσῃ ἐκτιθοῖντο.

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

## Περὶ αὐξήσεως τῦ Προσεκτικῦ.

§ 885. Ἀναγκαίως μάλιςα εἰς πορισμὸν ἀληθῦς γνώσεως ἀπαιτεῖσθαι τὴν προσοχὴν, ἤδη σεσημείωται ( 391. 858 ). Τί δὲ ἐςὶν ἡ προσοχὴ, καὶ τῦτο εἴρηται ( 391 ). Ἡ δὲ ταύτης χρῆσις αὕτη.

§ 886. Α. Ἐὰν ὁ λόγος ᾖ περὶ τῦ ἐκτὸς ἡμῶν ὑφεςῶτος, ὅπερ ἀνακρίνομεν, ἵνα αὐτῦ ἰδέαν κτησώμεθα, ῥᾴδιον συννοῆσαι, ὡς πλείςας ὅτως εἰδικωτέρας ἰδέας συμπορίζόμεθα, αἳ ἐν τῇ ἀληθῇ τῦ πράγματος ἰδέα ἐμπεριεχόμεναι εἰσί· τοσύτῳ δέτοι πλείυς, ἴσῳ μείζονι ψυχῆς ἐπιβολῇ τὰ τῆς ἀνακρίσεως γίνεται.

§ 887. Β. Τὸ δ' αὐτὸ χώραν ἔχει, καὶ ἐφ' ὧν ἀμέσως ἀνατυπύμεθα, εἴτε αὐτὰ τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ τὴν ψυχὴν γινόμενα προλαμβάνοντες (452), εἴτε καὶ τὰς προειλημμένας ἤδη τῶν ἰδεῶν ἀλλήλαις προσεξετάζοντες (453). περὶ ὃν δὴ ἔχατον τρόπον, ἔςι δὴ συμφανὲς ἀποχρώντως, ὅτι συνεχῶς παρατεινέσης τῆς μετὰ προσοχῆς διασκέψεως δυεῖν ἰδεῶν συνθέτων, πλείονες ἀναφοραὶ ἐκκαλύπτονται, μεταξὺ τῶν εἰδικωτέρων ἰδεῶν, ἐξ ὧν ἐκεῖναι σύνθετοι εἰσὶ, ἢ ταύτῃ δέ γε ἢ ἡ περὶ αὐτῶν κρίσις καθίςαται ἐντελεςέρα.

§ 888. Ἵνα δὲ ἡ προσοχὴ ἐπιτείνοιτο, πρῶτον ἐκ μέσȣ ποιητέον τὰ διαταράττειν αὐτὴν δυνάμενα· εἶτα ζητητέον ἢ τὰ προάγειν πεφυκότα.

§ 889. Α΄. Ἐν ᾧ τινι προσέχειν ἀναβαλλέμεθα, ἐκκλίνειν ὀφείλομεν, πᾶν τὸ ἰδέας ἀλλοίας, ἢ μάλιςα καινὰς, τῷ ὑποκειμένῳ πράγματι περὶ ὃ σχολάζομεν, μηδὲν ἀνηκȣσας, τῇ ψυχῇ προβαλλόμενον. Τοιαῦτα τὰ καινοφανῆ πάντα, ταῖς αἰσθήσεσιν ὑποτιθέμενα.

§ 890. Ἀπακτέον καὶ πᾶν τὸ μεθ᾽ ὑπερβολῆς, τὸ, ὅπερ ἂν τύχοι, νεῦρον κινȣ͂ν· οἷον φῶς τε ἐξαίσιον, καὶ πάταγον εὐτόνως πλήσσοντα, ἢ σώματος θέσιν ὄχλον φέρȣσαν, κτλ.

§ 891. Τηρητέον δὲ μήτι παρείη, καὶ τὸ ἡσύχιον καὶ γαληναῖον τῆς ψυχῆς κατάςημα διαθορυβȣ͂ν καὶ ταράσσον (773).

§ 892. Β΄. Τὰ τῆς ψυχῆς πάθη, ȣ͂ τοιαῦτα ὄντα, ὡς ἐν τῷ ἀνωτέρῳ ἀριθμῷ ἐλέγετο, μετριώτερα δὲ, τῇ προσοχῇ ἐπιβοηθεῖ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοιαύτη ὁ ἐκ ἀχάλινος τῆς εὐδοξίας ἔρως· καὶ τῦ καλῶς παρὰ τοῖς ἀνθρώποις ἀκέειν. Τῦτὶ γὰρ τὸ πάθος συναπτόμενον τῷ εἰλικρινεῖ πόθῳ τῆς ἀληθείας, καὶ τῆς ἄλλης ἀρετῆς, ἐπαίνε ἂν εἴη ἄξιον, ἢ ἀγαθὰς ἀεὶ ἐπιφέρει τὰς ἐπικαρπίας.

§ 893. Βοηθεῖ δὲ τῇ προσοχῇ καὶ ἡ τῶν αἰσθήσεων χρῆσις, καὶ περὶ αὐτὰ ἐδὲν ἧττον τὰ ἀσώματα.

Δυσχερὲς γὰρ, μάλιστα τῷ μὴ εἰθισμένῳ, τὸ πλείοσιν ἅμα ἰδέαις προσέχειν ἀφῃρημέναις, νῦν μὲν ταῖς, νῦν δὲ ταῖς παραβάλλοντι, καὶ τὰς πρὸ ἔργε ἐσομένας κατὰ τὸ δέον ἀνακαλῦντι, ἃ πολλάκις ἐναπαιτεῖται.

§ 894. Καὶ τότε δὴ, δὶ εἰκόνων, ἢ χαρακτήρων, ἔστιν ἃς τῶν ἰδεῶν σημειωτέον, ἢ ἐπὶ χάρτε γραπτέον, ἵν' ὅτω πρὸ ὀφθαλμῶν ἐσῶν, εὐμαρῶς ἡ ἐπιζητεμένη παραλαμβάνοιτο· γένοιτο δ' ἂν τῦτο διττῶς.

§ 895. Πρῶτον μὲν, φωνῇ τινὶ τῆς ἰδέας ὑποδηλεμένης, ἣν τοιαύτην αἱρεῖσθαι δεῖ, ὡς ἂν μᾶλλον δὶ αὐτῆς ἡ ἰδέα γένοιτο εὐανάκλητος. Δεύτερον, καὶ ἑνὶ γράμματι διασημειωμένης. τηνικαῦτα γεμὴν ἐν μέρει σημειωτέον, τὶ τὸ ὑφ' ἑκάστε τῶν γραμμάτων τυγχάνει δηλέμενον.

§ 896. Καὶ ἑκάστη δὲ τῶν προτάσεων ἐξ ἂν μέλλομεν συλλογίσεσθαι ἐπὶ χάρτε γραπτέον· ἢ ταύταις, τὰς ἀνακαλυπτομένας νέον, αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίκα παρασυναπτέον, ἵνα μιᾷ χεδὸν ἐπιβολῇ, πάντα ἐξ ἑτοίμȣ δυναίμεθαι διέρχεσθαι, τὰ περὶ τȣ͂ προκειμένȣ ὄντα ἤδη ἡμῖν κατάδηλα.

§ 897. Τὰ δ' ἐπιβοηθήματα ταῦτα γένοιτο ἂν ἐν χρήσει ὁποιȣδήποτε τυγχάνοντος τȣ͂ μέλλοντος ἀνακρίνεσθαι. Ἐὰν δὲ ὁ λόγος περὶ ποσότητος ᾖ, τȣτέςι περί τινος δεκτικȣ͂ ὄντος αὐξήσεώς τε καὶ ὑφέσεως, οἷα ἡ κίνησις, ἡ ταχύτης, ὁ χρόνος, τὸ βάρος, κτλ. μεῖζον ἔςαι τὸ ἐκ τῆς Φαντασίας ἐπιβοήθημα.

§ 898. Πᾶσαν γὰρ ποσότητα διὰ γραμμῆς σημειȣ͂ν δυνάμεθα· ἡ δὲ γραμμὴ διπλασιασθεῖσα, διπλασίονα καὶ τὴν ποσότητα παραςήσει. ȣ̔́τως ὑπ' ὀφθαλμοῖς προκείμενα παρέςαι τὰ ποσὰ, καὶ τὸ περὶ αὐτὰ συλλογισθῆναι ῥάδιον ἔςαι· τὰ δὲ τȣ͂ συλλογισμȣ͂ ἀτρέπτως σώζεται, ἐὰν ταῖς γραμμαῖς καὶ πλάτος σμικρὸν, ἁπάσαις ἴσον προσαναπλάσωμεν. καὶ τηνικαῦτα τὸ ἐξ ἁπασῶν ἄθροισμα, παρέξει τὴν ἐπιφάνειαν.

§ 899. Πολλὰ δυχερῆ ἄλλως ζητήματα, διὰ τῶνδε τῶν βοηθημάτων, κομψῶς τε καὶ προχείρως παρὰ τοῖς Μαθηματικοῖς πάρεςιν ἰδεῖν ἐπιλυόμενα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

## Περὶ τῆς Μνήμης.

§ 900. Μνήμης ἄνευ νȣ̃ν δίδοσθαι, μὴ ἐξὸν φθάσαντες εἴδομεν (104). Περὶ μὲν ȣ̃ν ταύτης ἐςὶν ἃ παρατετήρηται (192. 195. 202. 309. 310). Ἤδη δὲ κατὰ σχέσιν πρὸς τὴν παρȣ̃σαν τȣ̃ λόγȣ πρόθεσιν ταύτην ἐξεταςέον (858).

§ 901. Πᾶς τις ὁμολογήσει ἀλυσιτελεῖς ἔσεσθαι πάσας ἡμῶν τὰς ἐννοίας, ἀνακαλεῖν αὐτὰς ὅπη παρείκοι μὴ δυναμένων. Λυσιτελεςάτας δὲ τἐναντίον, ἐὰν ȣ̃τως εὐκόλως τῇ ψυχῇ ἐπανίωσιν, ὥςε μηδέποτε ὑςερεῖν, ὁσάκις ἂν πρὸς διασάφησιν τȣ̃ περὶ ȣ̃ ἡ σκέψις, αὐτὰς ἀναπεμπαζοίμεθα.

§ 902. Ἐπίσημον ἔχει τοιγαρȣ̃ν ἡ μνήμη τὴν χρείαν, πρὸς ἀνεύρεσιν τῶν μεσιτευȣσῶν ἰδεῶν, δι' ὧν αἱ ἄλλαι παραβάλλονται· τὰς γὰρ μέσας ἀπὸ τῶν προειλημμένων αἱρετέον.

§ 903. Οὔμενȣν τῇ μνήμῃ μόνῃ, τὴν τȣ̃ ἀνακαλύπτειν τὰς μεσιτευȣ́σας ἰδέας δύναμιν ἀπονέμομεν· ἔςι γάρ πως δύναμις ἐπὶ τȣ́τῳ ἄλλη τις ἰδιάζȣσα· (870) οἱ γὰρ μνήμῃ διαφέροντες, ταύτης τὰ πολλὰ ἠμοίρησαν τῆς δυνάμεως· αὕτη γε μὴν μνήμης ἄνευ ȣ̓δέποτ' ἂν περιείη.

§ 904. Περὶ δὲ τῆς μνήμης παρατηρητέον, τὸ περὶ τῶν δυνάμεων τῆς ψυχῆς ϗ τȣ̃ σώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματος πολλάκις σημειωθὲν, ὡς ἀσκήσειτε καὶ γυμνασίᾳ προάγεσθαι πεφύκασι καὶ τελειοῦσθαι. Ἐπὶ δὲ τῆς γυμνασίας ταύτης τρόπῳ τινὶ χρηστέον τῷ ἀνυσιμωτάτῳ.

§ 905. Τοῦ μνημονικοῦ τὸ μὲν περὶ τὰς φωνὰς ἐστὶ, τὸ δὲ περὶ τὰ πράγματα. ἑκάτερον δὲ τῶν ἀναγκαίων.

§ 906. Τοῖς μὲν οὖν θάτερον ἐπικρατεῖ, τοῖς δὲ θάτερον. Καθ᾽ ἑκάτερον δὲ ἐπίσημός τις ἐν διαφέρουσιν ἀνθρώποις παρατετήρηται ἡ διαφορὰ, καθὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν δυνάμεων.

§ 907. Ἐὰν οὖν περὶ τῶν πραγμάτων ὁ λόγος ᾖ, οὐδὲν τοσοῦτον ἐπιβοηθεῖν τῇ μνήμῃ οἷόν ἐστιν, ὅσον ἡ τάξις. Ἐὰν δὲ περὶ τῶν φωνῶν, τὸ εὔθετον καὶ κεκαλλιεπημένον τοῦ λόγου, μάλιστα συντελεῖ.

§ 908. Πρὸς τούτοις, καὶ ὅπως τι καλῶς ἐναποτυπωθείη τῇ μνήμῃ, πολλάκις ἐπαναληπτέον, καὶ ἐφ᾽ οἱασοῦν ἐπαναλήψεως, συντόνῳ τῇ προσοχῇ ἐπισκεπτέον, πρὸ πάντων δὲ, εἰ περὶ τῶν πραγμάτων ὁ λόγος, ἵνα ἡ τῶν ἰδεῶν ἀλληλουχία, καθαρώτερον τῇ ψυχῇ ἐναπομαχθῇ. Τοῦτὶ δὲ οὐκ ἂν ἄμεινον ἀνύσειεν, ἢ ὧν τὰς ἰδέας αὐτὸς ἐπορίσατο, καὶ τοῖς ἄλλοις ἐκτιθέναι τῇ αὐτῇ τάξει ἐπιχειρῶν.

§ 909. Σημειωτέον δὲ, εἶναι μὲν τὴν μνήμην τῶν ἀναγκαίων, μόνην δὲ παροῦσαν, οὐδέν τι παρέχειν χρήσιμον. Πολλοῦ μὲν γὰρ τιμητέα ἡ δύναμις αὕτη, ἐφ᾽ ᾧ ἂν ταῖς λοιπαῖς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνάπτοιτο· τηρητέον δὲ, μήτοιγε ταύτης ἐπιμελέμενοι, τῶν ἄλλων, περὶ ὧν ἐν τοῖς πρὸ τέτε δυσὶ κεφαλαίοις διήλθομεν, ἀμελῶς ἔχοιμεν.

§ 910. Ἔςι τις ἰδιάζεσα τέχνη τε̃ τὰς ἰδέας ἀνακαλεῖν, τὰς ἐξ ἀλλήλων μὴ ἐχομένας· καὶ δὴ, καὶ φωνάς, εἰ τύχοι, ὧν ἐδὲν ἐςὶν νόημα, κἂν ἅπαξ ἡμῖν προβάλλοιντο· ταύτην **Μνήμην τεχνικὴν** ὀνομάζεσι.

§ 911. Ἀσκεμένοις δὲ τὴν τέχνην τήνδε, ἐδὲν τὸ κυρίως μνημονικὸν ὑπεργεῖ, ἀλλὰ τὸ φανταςικὸν μόνον.

§ 912. Οἱ τῆς τέχνης ἐπήβολοι, ἐν ᾧ τῶν φωνῶν ἀκέεσιν, εἰκόνας τινὰς ἑαυτοῖς ὑπογράφεσι, καὶ τρανῶς αὐτὰς τῇ ψυχῇ ἀνατυπε̃νται, ὡς μικρὸν καὶ ὑπ' ὄψεσιν ἔχειν. τοιαύτας γεμὴν αἱρε̃νται, δι' ὧν τὸ προφερόμενον ὄνομα ῥᾳδίως ἀνακαλεῖν ἔχοιεν, ἢ ἀνάπαλιν, προφερομένε τε̃ ὀνόματος, αὐτὰς ἑτοίμως παρέσας ἰνδάλλοιντο.

§ 913. Καὶ τέτῳ τοίνυν τὸ τῆς τέχνης κεφάλαιον· τὸ παρὰ χρῆμα τοιάσδε ἀναπλάττειν εἰκόνας, καὶ τῇ φαντασίᾳ βαθέως ἐγκολάπτειν δύνασθαι.

§ 914. Ὑπὲρ ἑκάςε, εἴτε ὀνόματος, εἴτ' ἐν καὶ πράγματος, ὁποτέρως ἂν ἔχῃ τὸ προβαλλόμενον, καὶ εὐτάκτως τῇ μνήμῃ ἐντυπε̃σθαι μέλλον, εἰκόνας ἀπ' ἀλλήλων διακεκριμένας ἐπινοητέον, καὶ τε̃το ἐν βραχείᾳ χρόνε ῥοπῇ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅσον ἂν χρόνου παρήκοι δηλαδὴ τοῦ ὀνόματος ἐκφωνουμένου, ἢ δεικνυμένου τοῦ πράγματος, προσεθέντος καὶ τοῦ μεταξὺ μορίου, τοῦ κατ' αὐτὸ τὸ διάλειμμα τὸ μεταξὺ τῶν ἐκφωνήσεων, ἢ τῶν δείξεων.

§ 915. Τῶν δὲ εἰκόνων ἑκάστη, οὕτως ἂν ἐπινοητέα εἴη, ἢ ἀναπλαστέα, ὡς συνηρτῆσθαι τῇ προηγουμένῃ ἀείποτε τὴν ἐφεπομένην, καὶ τὴν ἑτέραν ἐπὶ τὴν τῆς ἑτέρας εἰδωλοποιΐαν χειραγωγεῖν.

§ 916. Παρὰ ταῦτα ἐπάναγκες, καὶ προληφθεῖσαν διορισθῆναι τὴν τάξιν, καθ' ἣν αἱ εἰκόνες διατακτέαι, οὕτω δὴ, ὡς ἐκ τοῦ τόπου, καθ' ὃν μία τις ἐν μέρει τῶν εἰκόνων ἀναποκεῖται, αὐτίκα τὸν ἐν τῷ στίχῳ ἀριθμὸν αὐτῆς καταφαίνεσθαι· οἷον εἰ δεκάτη κεῖται, ἢ ἑνδεκάτη, κξ.

§ 917. Εἰσὶν οἳ, ὑπὲρ ἑκάστου ἀριθμοῦ, εἰκόνα τινὰ προειληφότες, ἑτοίμως ἔχουσι προδιωρισμένην, ἥ περ ἂν ἐπὶ τῆς προτεθείσης ὑποθέσεως, κατὰ τὴν χρείαν προχρήσωνται· τὴν δὲ, τῇ ἐξ ὑπογείου ἀναπλαττομένῃ συνάπτουσιν· οἷον ἀεὶ τρίποδα ἰνδάλλονται, ἐπὶ τῆς εἰκόνος τῆς τῷ τρίτῳ τῶν ἐκφωνουμένων ἀντιστιχούσης. πλὴν, ἡ τάξις αὐτὴ καθ' ἣν αἱ εἰκόνες νοοῦνται, πρὸς διορισμὸν τοῦ ἀριθμοῦ ἅλις ἂν ἔχοι.

918. Ὡς ἂν οὖν τις, τῶν διαφόρων ἐκ διαδοχῆς ὀνομάτων ἀκούσας, τὴν τῶν ἐξεικονισμῶν πρόοδον κατὰ τὸ φανταστικὸν ἀπομάξηται,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τηνικαῦτα δὴ τὰς εἰκόνας, ὧν ἡ ἑτέρα ἐπὶ τὴν ἑτέραν χειραγωγεῖ (915) ἀναπεμπαζόμενος, τὰς αὐτὰς Φωνὰς, τάξει τῇ αὐτῇ ἀποδώσει, ἢ ἀντιςρόφῳ. Ἐπίσης γὰρ εὐκόλως κατὰ τὸ ἀνάπαλιν τῆς τάξεως αἱ εἰκόνες παραςαθήσονται.

§ 919. Ὁποίαν δήποτε τῶν προτεθεισῶν Φωνῶν προφερομένην ἀκέσας, καθορᾷ παραχρῆμα τὴν ἀντιςιχῆσαν εἰκόνα, καὶ ὅση τὸν ἀριθμὸν, καὶ τὶς ἡ προηγεμένη Φωνὴ, ἢ τὶς ἡ ἑπομένη, ὑποδεικνύεσαν. προτεθέντος δὲ τῦ ἀριθμῦ, τῷ τόπῳ προσέχει ὃς αὐτῷ διώρισαι, καὶ τὴν εἰκόνα παραυτίκα παρῦσαν ἔχει, ἢ ἣ ἡ ἀντιςιχῦσα Φωνὴ τὴν ψυχὴν ὑπέρχεται· ὅθεν αὐτὴν ἐπαναλαβεῖν τηνικαῦτα, καὶ ἐπ᾽ αὐτῇ ἢ τὰς ἑπομένας, ἢ ἡγεμένας εὐμαρῶς δυνήσεται.

§ 920. Ἡ μὲν ὖν ἐκτεθεῖσα τέχνη, ὖχ ὕτω δυχερὴς ἐςὶν, ὡς ἂν κατὰ πρῶτον δόξειεν. Ἀσκήσεως ἀλλ᾽ ὖν καὶ ἐπ᾽ αὐτῇ χρεία· ἢ ἀπὸ τῶν εὐχερεςέρων κἀν ταύτῃ χωρητέον ἐπὶ τὰ δυχερέςερα.

§ 921. Οὐ μὴν ἀλλ᾽ ὖχὶ πάνυ πολλῦ τὴν τοιάνδε τέχνην ποιητέον. ἐπὶ γὰρ τῦ συνεχῦς λόγυ, ἀλυσιτελὴς πάντῃ ὖσα ἐλέγχεται· ἐπὶ δὲ τῶν κατ᾽ ἐπιςήμην τῆς τῶν συλλογισμῶν ἀλληλυχίας, ἔθ᾽ ἂν δεήσοι, ἀνακαλεῖν ἔςὶ τὰ θεωρύμενα. Ἐν δὲ τοῖς κατὰ τὴν ἱςορίαν, εἴ τις τῷ τοιῷδε τρόπῳ τῆς μνήμης χρήσασθαι ἕλοιτο, εἰς ἄπειρον ἂν αὐτῷ δεήσειε διαπληθῦναι τὸν τῶν εἰκόνων ἀριθμόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 922. Παρὰ ταῦτα σημειωτέον, ὡς ἐςὶ μὲν λυσιτελὲς καὶ χρειῶδες, ἡ τῆς τȢ̃ ΦανταςικȢ̃ δυνάμεως ἔκτασις· ἔςι δὲ Ȣ̓δὲν ἧττον καὶ ἐκ πείρας εἰδέναι, ὡς οἱ λίαν ταῖς Φανταςικαῖς προςετηκότες ἀνατυπώσεσι, δυχερέςερον, τῆς ἐκ τῶν εἰκονισμῶν ἀπȢ̓́σης ἐπικȢρίας, κατὰ νȢ̃ν τὰ πράγματα ἐννοεῖν πεφύκασιν, ἀφυέςεροί πως κατὰ τὰς ἀφῃρημένας τῶν γνώσεων γινόμενοι.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

# Περὶ ΜεθόδȢ Ἀναλυτικῆς.

§ 923. Τῇ Μεθόδῳ ταύτῃ προχρώμεθα, πρότασίν τινα διερευνῶντες, ἐφ' ᾧ κρίναι πότερον ἀληθεύει, ἢ ψεύδεται; Χρειώδης δὲ ἐςὶν ἡ αὐτὴ, καὶ τοῖς θηρωμένοις τὸν τρόπον τῆς τȢ̃ ζητήματος ἐπιλύσεως, τȢτέςι πῶς ἔςι πρὸς αὐτὸ ἀπαντῆσαι· ἑκατέρωσε γὰρ τὴν αὐτὴν βαδίζειν χρεών.

§ 924. Ἀντέον ἀπὸ τȢ̃ προτεθέντος, ἔςγ' ἐπὶ πρότασίν τινα τὴν ἡμῖν γνωριμωτάτην, ὡς δῆλον γενέσθαι, ὅτι τὸ ζητȢ́μενον, ἢ ἤδη ἀνακαλυφθὲν, τῇ προτάσει ταύτῃ, συνάδει, ἢ ταύτης ἀπάδει, ὅθεν ἐκ τῆς κατ' αὐτὴν ἐναργείας ἕποιτο, πότερον προσέσθαι δεῖ τὸ προκείμενον ἢ ἀπώσασθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 925. Ἐπιμελῶς δ' ὡς οἷόν τε παρατηρητέον, μὴ πέρας τῇ ἐρεύνῃ ἐπιτιθέναι, πρίν γε δὴ πρός τοιαύτην τὰ τȣ̃ συλλογισμȣ̃ πρότασιν ἀναχθῆναι, γνωριμωτάτην τε ἡμῖν ȣ̃σαν, καὶ τὸ ἀληθεύειν ἀναμφισβήτητον ἔχȣσαν. ὡς γὰρ ἂν ἐπὶ ταύτην γενοίμεθα, ἅλις ἤδη πρὸς τὸ προτεθὲν ἕξει, εἴθ' ἁπλῆς ȣ̃σης τῆς προτάσεως, εἴτε καὶ συνθέτȣ, ἐπὶ μαθηματικῇ τῇ ἐναργείᾳ, ἢ καὶ τῇ κατ' ἦθος ἐπερειρισμένῃ. ἑκατέρα καὶ γὰρ εἴς γε τὸ τέλεον τῆς πληροφορίας, ἡμᾶς ἐςὶν ἄγȣσα (585).

§ 926. Ἐφ' οἱασȣ̃ν δὲ ἐρεύνης εὐτάκτως προσήκει χωρεῖν ᾗ κατά τινας κανόνας, τὰς ἰδίας διανοήσεις ἰθύνειν.

§ 927. Παραινεῖν δὲ πρὸ παντὸς ἄξιον, ὅτι μάτην ᾗ ἀλυσιτελῶς τὴν ἔρευναν τȣ̃ προκειμένȣ ἀναβάλλεται ὅς ἂν μὴ γνώριμα ἑαυτῷ προειληφὼς ἔχει, πολλ' ἄττα τῶν προσανηκόντων τῷ σκέμματι. Τῇ μὲν γὰρ, ὧν ἔχομεν ἰδεῶν παραθέσει, καινάς ἰδέας ἐκποριζόμεθα (23). Ἀλλ' ἐν ταύταις ȣ̓δεμία ἔςαι ἁπλῆ (326). Τῶν τε ἐκτὸς ἡμῶν ὑφεςώτων πραγμάτων, τὰς ἰδέας ȣ̓κ ἂν προσλάβοιμεν, εἰμὴ διερευνῶντες αὐτὰ τὰ πράγματα.

## Κανόνες ἀναλυτικοὶ

### Κανὼν Α'.

§ 928. „Τὸ ζητȣ́μενον καλῶς νοητέον καὶ „διοριςέον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δεῖ δὲ πρὸς τῦτο, ἁπάσας τὰς ἐν τῷ ζητήματι Φωνὰς, ὀρθῶς κατανοεῖν, ὅτω συνιέντας, ὥσπερ ἐπὶ τῦ προκειμένυ σημαίνειν παραλαμβάνονται.

§ 929. Παράδ. Ζητεῖται ἐπὶ τῶν Φυσικῶν ἡ αἰτία τῦ ἤχυ.

Τὸ γῦν ζήτημα; ἐφ' ᾧ ἄμεινον νοηθῆναι, καθαρώτερον ἐξενεκτέον καὶ ἀκριβέςερον διοριςέον.

§ 930. Ζητεῖται τοίνυν, τῷ τρόπῳ προσλαμβάνειν τὸν ἦχον ὠσὶ πεφύκαμεν, ὃν ὁ κώδων Φέρε κρυόμενος ἀποδίδωσι;

§ 931. Οὐδὲν ἦν ὡς ἐκ τῶν Φωνῶν δυσχερὲς ἀπαντᾷ εἰ μή τις τὸ τῦ ἤχυ ἐξέλοι ὄνομα. Λόγος δὲ περὶ τῦ ἤχυ ἐςὶν ὃν ὁ κώδων ἐκδίδωσιν, καὶ ἔτι περὶ τῦ ἤχυ, ὃν ἐγὼ ἐξακύω. ὁ δὲ δεύτερος τῆς ψυχῆς αὐτῆς ἐςὶ πρόσληψις (395)· ἧς ὐδὲν ἐπὶ τῦ κώδωνος γένοιτ' ἂν ὅμοιον. ὐκ ἄρα κατὰ τὴν αὐτὴν ἐκδοχὴν, ἐπ' ἀμφοῖν τὸ ὄνομα παραληπτέον.

§ 932. Κατάδηλον παντὶ, τί ἀντὶ τῦ ἤχυ τυγχάνει νούμενον, ἐπειδὰν περὶ αὐτῦ τῦ αἰθήματος πρόκειται λόγος. Ἀλλ' εὐχερῶς καὶ τῦτο συνορᾶν οἷόν τε; ὡς ὁ ἐπὶ τῦ κώδωνος ἦχος, ὐδὲν ἀλλ' ἢ αὐτὸ τὸ ἐν τῷ κώδωνι ὂν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοεῖται, ἡνίκα τὰς ἀκοὰς περιηχέμεθα, ᾧ ἀφαιρεθέντος, ὁ ἦχος παύεται. Τὶ δ' ἂν τῦτο εἴη, ἐν τῇ τῦ προτεθέντος ζητήματος ἐρεύνῃ ἐξεταςέον.

§ 953. Προσέτι δὲ, καὶ τῦτο συνορῶ μάτην μὲ τὴν ἐπίκρισιν τῦ προτεθέντος μεταχειρίεῖσθαι ζητήματος μὴ πρὶν τινα τῶν ταῖς αἰσθήσεσι προσανηκόντων προγινώσκοντα. Ἅλις δ' ἂν ἔχοι προειληφέναι, τὸ ἀνωτέρω παρατεθὲν (281), ὅτι πᾶσα δήποτε αἴσθησις ἐκ τῆς τῦ νεύρυ κινήσεως ἤρτηται. Ἐξ ᾧ δῆλον, ὡς ἐπὶ τῦ προτεθέντος ζητήματος, φυσικῶς ἐπιθεωρυμένυ, περὶ τῆς τῦ νεύρυ ὁ λόγος ἐςὶ κινήσεως. Ἐπειδὴ δὲ τὸ ῦς, ἀκοῆς ἐςὶν ὄργανον, τὸ τοιόνδε νεῦρον, ἐν αὐτῷ τύτῳ τῷ ὀργάνῳ ζητητέον ἐςί.

§ 954. Τῦ γῦν ζητήματος ὕτω καλῶς κατανοηθέντος, ἐπὶ τὸν δεύτερον κανόνα μεταβατέον.

## Κανὼν Β΄.

§ 955. „Τὸ ζήτημα διορθωτέον, καὶ ἀκριβῶς „τε, καὶ ὡς οἷοντε ἁπλέςατα ἐξενεκτέον.

§ 956. Ἵνα δὲ τῦτο γένηται, ἅπαν ἀπὸ τῦ ζητήματος, ὅτι πορρωτάτω ποιητέον, ὅπερ οἷον ἐςὶν ἀπὸ τῆς τύτυ ἡμᾶς ἀπάγειν ἁπλῆς τε καὶ ἀφῃρημένης διασκέψεως. Ἀναπληρωτέον δὲ, τὸ μὴ ὅσον ἅλις καθαρῶς ἐκδηλύμενον.

§ 957. Ἐν τῷ περὶ τῦ ἤχυ ζητήματι (950), ἀναπληρῶσαι δέον τὴν ἰδέαν τῆς κι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νήσεως, ἣν χώραν ἔχειν ἐνταῦθα εἴδομεν (935). Ἀπαγαγεῖν δὲ τὴν ἀσαφῆ ἰδέαν τȣ͂ ἤχȣ, τȣ͂ ἐν αὐτῷ τῷ κώδωνι ἐννοȣμένȣ. ἤδη μὲν γὰρ ἐπ᾽ αὐτὴν δὴ τὴν τȣ͂ ζητȣμένȣ ἐπίκρισιν μεταβαίνοντες, τὸ ζητȣ́μενον ὅτω προτεθείσεται.

§ 938. Τῷ τρόπῳ ἐκ τῆς τȣ͂ κώδωνος προσβολῆς, τοιάδε τις ἐπὶ τȣ͂ ὠτὸς ἐνεγείρεται κίνησις, ὥςε κατ᾽ αὐτὸ τὸ ἀκȣςικὸν νεῦρον διαπορθμεύεσθαι.

## Κανὼν Γ'.

§ 939. „Αἱ διαφέρȣσαι ἰδέαι ἐπὶ τȣ͂ προ„τεθέντος ζητήματος, ἧπερ οἷόν τε διακριτέαι, „ὥςε τὸ ζητȣ́μενον εἰς πλείονα ἐν τῷ μέρει „ἀναλύεσθαι.

§ 940. Ἡ τοιάδε ἀνάλυσις μεγίςην ἔχει τὴν χρῆσιν. Δι᾽ αὐτῆς γὰρ ἀμειȣ͂ται ἀείποτε ἡ τȣ͂ ζητȣμένȣ δυσχέρεια, καὶ πολλάκις καὶ πάντη αἴρεται, εἰ μόνον τοιαύτη γίγνοιτο ἡ ἀνάλυσις, οἵα ἐκ τῆς τȣ͂ ὑποκειμένȣ φύσεως παρορηδεῖ.

§ 941. Δεῖ δὲ παρατηρεῖν, εἰ τὰ ἐν μέρει πάντα ζητήματα, ἅμα ληφθέντα, τὸ προτεθὲν (ᾗ δέον ἐςὶ) περιέχȣσι ζήτημα.

§ 942. Τῶν διαιρέσεων ἁπασῶν ἀρίςη, ἡ εἰς μέλη δύο καθιςαμένη διὰ καταφάσεώς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε καὶ ἀποφάσεως. Οἷον· πᾶν ὅ,τι ὑφέστηκεν, ἤτοι ἀρχὴν ἔχει λαβὸν, ἢ ὐκ ἔχει· ὃ καὶ ἐπὶ τῶν ὑποδιαιρέσεων, τηρητέον. τηνικαῦτα γὰρ ὐδὲν ἀμφιβολίας δέος περὶ τὴν διαίρεσιν ὑπολείπεται, ἧς τὰ μέλη ἅμα ληφθέντα, τὸ ὅλον ὃ διαιρετέον ἐστὶ συναποτελῦσιν.

§ 943. Ἀλλὰ γὰρ ἡ ὔτως ἔχυσα διαίρεσις, ἀπὸ τῆς κατὰ φύσιν ἣν αὐτὸ τὸ πρᾶγμα ὑποδείκνυσιν, ἡμᾶς ἂν ἀπαγάγοι· ὁπότε ταύτῃ χρῆσθαι καλὸν ἦν ἡ τῦ προκειμένυ ὑποτίθησι φύσις. ὅπερ εὐθὺς εἰσόμεθα ἐν τῷ περὶ τῦ ἤχυ παραδείγματι.

§ 944. Ἀφεκτέον ἐπὶ τῆς διαιρέσεως, μὴ θάτερον ἐν θατέρῳ τῶν μελῶν περιέχοιτο, ὡς ἐὰν εἴπω, οἱ τὴν μεγάλην Βρηττανίαν οἰκῦντες; ἤτοι Ἄγγλοι εἰσὶν, ἢ Σκότοι; ἢ Λονδινήνσιοι.

§ 945. Ἀφεκτέον δὲ, καὶ μὴ τῷ πλήθει τῶν διαιρέσεών τε καὶ ὑποδιαιρέσεων, μείζων ἡ σύγχυσις γένηται, ἢ εἴπερ τὰ τῆς διαιομῆς παρημέλητο.

§ 946. Ἐπὶ τῦ ἐξ ἀρχῆς ληφθέντος παραδείγματος; εἰς τρία τὸ ζητύμενον ἀναλύομεν.

§ 947. α. Τί ποτε συμβαίνῃ τῷ κώδωνι, καὶ τί ποτε ὗτος ποιεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 948. β. Τίνι ἀποδοτέον τὴν μεταξὺ τῆ κώδωνος ἢ τῆ ὠτίȣ κοινωνίαν, καὶ ὅτῳ τρόπῳ;

§ 949 γ. Τὶ κατ' αὐτὸ συμβαίνει τὸ ȣ̓̃ς;

## Κανὼν Δ'

§ 950. „Ἰδέαι τινὲς μεσιτεύȣσαι προσευ„ρητέαι, δι' ὧν τὰ ἐν μέρει ζητήματα ἐπι„λύεσθαι δύναιντο, ὅπως ἕκαςα ἐπὶ διωρισ„μένην ἀναχθείη ἀπόφανσιν.

Ὅσον δὲ ἀναγκαῖαι εἰσὶν αἱ τοιαίδε τῶν ἰδεῶν, πρότερον εἴρηται (696. 703. 727. 870).

§ 951. Πρὸς δὲ τȣ̃το ἀναπεμπαςέον τῇ μνήμῃ, ὅσα ἄλλοθεν ἡμῖν περὶ τȣ̃ ὑποκειμένȣ τυγχάνει γνώριμα, καὶ ἅττα ἀναφοράν τινα πρὸς αὐτὸ, κἂν ὅτι ἐλαχίςην ἔλαχεν, ἵν' ἐξ αὐτῶν τὰς ἰδέας ἐρανιζοίμεθα, αἳ ἐπὶ τῆς προκειμένης ἐρεύνης ὑπεργῆσαι δυνήσονται (870. 902. 903).

§ 952. Ἐπὶ τȣ̃ προταχθέντος παραδείγματος, πρῶτον διερευνῶμεν ἅττα ἀνήκει τῷ κώδωνι (947)· εὑρίσκομεν δὲ μόνα τῶν σωμάτων τὰ ἐλαςικὰ, εἶναι ἠχητικὰ πληττόμενα· δεῖ γὰρ τὴν τρομώδη τῶν μορίων κίνησιν ἀεὶ παρεῖναι, ἧς ἀρθείσης ὁ ἦχος ἐκ ἐξακȣ́εται,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 953. Ἐν τῇ ἐρεύνῃ τοῦ β΄. ζητήματος (948) τοῦ περὶ τῆς κοινωνίας τῆς μεταξὺ τοῦ κώδωνος καὶ τοῦ ὠτὸς, ἐπισκεπτέον, ὡς ἤτοι αὐτὸ ᾧ τινι τὴν κοινωνίαν ἀπονέμομεν ἣν ζητοῦμεν, τῇ αἰσθήσει καθυποπίπτει ἢ οὐχί. καὶ εἰ μὴ, ἡμῖν οὐκ ἂν φανερὸν γένοιτο, ὅτε τοῦ ζητουμένου ἐπίλυσις μάτην ἂν θηρεύοιτο· ἐκεῖνο ζητητέον, εἰ τοῦτο τῇ αἰσθήσει προσπίπτει. Δῆλον ἄλλως ἐστὶν μηδὲν ἀπὸ τοῦ κώδωνος αἰσθητὸν περιϊέναι, διὸ οὐδὲν ὑπολείπεται περαιτέρω διερευνῆσαι; ἢ τὸ φῶς καὶ τὸν ἀέρα· οὐδὲν γὰρ πλὴν τῶν δύο τούτων μεταξὺ κώδωνος καὶ ὠτὸς, αἰσθητὸν ὂν, κατειλήφαμεν.

Ἀλλ᾽ ὁ ἦχος διὰ τῆς σκοτίας οὐκ ἀναιρεῖται, οὐδ᾽ ἐξασθενεῖ· ἐκεῖνον τὸν ἀέρα μόνον λείπεται ἐξετάζειν. ἐπεὶ δὲ τοῦ ἀέρος ἀρθέντος, ὁ ἦχος οἴχεται, συμφανὲς ἤδη, ὡς τῷδε καὶ μόνῳ ὡς αἰτίῳ τὴν εἰρημένην διαπόρθμευσιν ἀποδοτέον.

Τῷδε τρόπῳ; ἤτοι γὰρ τῇ μεταβάσει τοῦ ἀέρος τόδε συμβαίνει, ἢ οὐχὶ τῇ μεταβάσει. ὅτι δὲ τὸ πρῶτον οὐκ ἔστι, δεῖξαι ῥᾴδιον. Ἀρχ

§ 954. Διὰ τοῦ ἀέρος, καὶ τούτου μὴ μεταβαίνοντος, ἡ κοινωνία γίνεται, ἡ μεταξὺ ὠτίου καὶ κώδωνος.

§ 955. Ἤδη δὲ καὶ περὶ τοῦ ὠτίου διαληπτέον (949). Ἐν τούτῳ γοῦν τὸ κοῖλον ὁρῶμεν, τὸ ἐκτὸς ἀνεωγμένον ἀέρος ὂν πλῆρες, καὶ πόρον οἷον τινὰ παρεχόμενον. οὗ κατὰ τὸ πέρας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐντὸς τὸν φραγμὸν ποιεῖται ὑμὴν λεπτὸς ὑποτείνων, τῇ θέσει πλαγιάζων, ὃς τύμπανον ὀνομάζεται. Διαφράττει δὲ διατειχίζων ὁ ὑμὴν τὸ ἔξω κοῖλον τȣ̃ ἐνδοτέρȣ, τȣ̃ κ̀ αὐτȣ̃ ἀέρα ἐμπεριέχοντος. Εἰσὶ δ' ἐν τȣ́τῳ σωλῆνες ποικίλοι, παντοίως διατεταγμένοι ἐξ ὕλης ἐλαςικῆς, ὀςώδεις, συνεςηκότες. Ἔνεισι δὲ καὶ ὀςέα ἐλάσσονά τινα, τὰ ἐν ᾧ τὸ τύμπανον κρȣσθὲν, τῇ τρομώδει διατίθεται κινήσει, διασαλευόμενα. τέως ἐπὶ τȣ̃ ἐνδοτέρȣ τȣ̃δε κοιλώματος πέρας ἔχειν, κ̀ οἷς αὐτὸ περιςοιχεῖται ὀςέοις, συγκολλᾶσθαι παρατηρȣ̃μεν τὸ νεῦρον, ȣ̃ τῇ κινήσει τὴν τȣ̃ ἤχȣ ἀντίληψιν ἀπονέμομεν.

## Κανὼν Ε'.

§ 956. „Παραθέσει τῶν ἐν μέρει προτά„σεων, τῶν ἰδίᾳ διοριθεισῶν, τὸν ἀριθμὸν αὐ„τῶν ἐκμειȣ̃ν ὀφείλομεν, εἰς ὅκεν ἐπὶ μίαν „τινὰ ἀφικώμεθα, τὴν περιέχȣσαν αὐτὸ ἐκεῖ„νο ὃ περὶ τȣ̃ προτεθέντος ζητήματος ἐξευρεῖν „δυνάμεθα.

§ 957. Ἐν τῷ περὶ τȣ̃ ἤχȣ ζητήματι, περὶ τῆς τȣ̃ νεύρȣ κινήσεως ὁ λόγος (938). ἐπὶ τῆς πρώτης προτάσεως ἐλήφθη, τῇ τρομώδει κινήσει τῶν τȣ̃ κρȣσθέντος σώματος μορίων, τὸ τȣ̃ ἤχȣ ἀπονέμεσθαι δεῖν (952). Ἐκ ταύτης ἄρα τῆς κινήσεως, ἡ τȣ̃ νεύρȣ κίνησις ἕπεται.

§ 958. Ἐπὶ δὲ τῆς δευτέρας προτάσεως (954) ἐλήφθη, τὴν κοινωνίαν τὴν μεταξὺ τȣ̃



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σώματος τῦ κρυσθέντος καὶ τῦ αἰτίυ, γίνεσθαι διὰ τῦ ἀέρος μεσιτεύοντος. τυτέςι τὴν κίνησιν διὰ τῦ ἀέρος διαπορθμεύεσθαι εἰς τὸ ὖς, ἐκείνυ ἥκιςα μεταφερομένυ.

Αὗται τοίνυν αἱ προτάσεις ἤδη συναπτέαι, κ̀ διοριςέον ὅπως ἡ κίνησις διὰ τῦ ἀέρος ἥκιςα μεταβαίνοντος, διαδίδοσθαι δύναται.

Ἀτενεςέροις ὖν τοῖς λογισμοῖς ἀνεξετάζυσι τὸν ἀέρα, γίνεται φανερὸν, ὅτι τᾆδε, τῇ τῦ σώματος κινήσει, κοινωνεῖται τις κίνησις ἀνάλογος τῷ κυματισμῷ, ὃς ἐπὶ τῆς ὑγρῦ τινος ἐπιφανείας διά τινος ῥιφθέντος σώματος ἀπογεννᾶται.

§ 959. Ἡ τοιάδε τῦ ἀέρος κίνησις πανταχόθεν ἐφαπλῦται κατ' εὐθείας προεκτεινομένη, ἐν αἷς ἕκαςα τῶν μορίων, διὰ βραχυτάτυ τῦ διαςήματος, χωρῦσιτε καὶ ἐπανίασιν ἐπὶ τὸν πρότερον τόπον ἐφηρεμῦντα.

§ 960. Ταῦτα τοῖς περὶ τῦ κώδωνος διορισθεῖσι συνάψας, (952) ῥᾷςα συνορῶ ὅτι ἡ διὰ τὸ ἐλατήριον συνεχιζομένη τῶν μορίων κίνησις, ἀλλεπάλληλα οἱονεὶ κύματα ἐνεγείρει ἐν τῷ ἀέρι, καθ' ἃ τῶν μορίων ἕκαςα πολλάκις προΐασίτε κ̀ ἐπανίασι· τῆς τε κινήσεως πανταχόσε διαδιδομένης, ἄχρι τῦ ὠτὸς ἡ διάδοσις γίνεται. τὰς δισσὰς ἄρα πρώτας προτάσεις, (952. 954) ἐπὶ τῇδε τὴν μίαν ἔχω ἀναγομένας.

§ 961. Ἐν ᾧ ὁ κώδων κρύεται, τὰ τῦ ἀέρος μόρια, τὰ ἐν τῷ ἐμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσθίῳ κοιλώματι τȣ̃ ὠτὸς, καὶ τὰ αὐτȣ̃ τȣ̃ τυμπάνȣ ἐχόμενα, διασαλεύεται, καὶ πολλάκις εἴσι τε καὶ ἐπάνεισι, τῷ τυμπάνῳ προσβάλλοντα.

§ 962. Χωρεῖν δὲ δεῖ καὶ περαιτέρω, καὶ τὴν παρȣ̃σαν πρότασιν, τῇ περὶ τȣ̃ ὠτίȣ τρίτῃ (955) ἤδη παραθετέον, ἵνα δὴ αἱ πᾶσαι εἰς μίαν ἀνηγμέναι παρῶσι.

§ 963. Ἡνίκα τὸ τύμπανον τῇ τρομώδει κινήσει διατίθεται, ἐλάχιστα τινὰ ὠστίδια διασείεται, τȣ̃τε κατὰ τὸ ἐνδότερον τȣ̃ ὠτὸς κοίλωμα τὰ μόρια πρόεισίτε καὶ ἐπάνεισιν. ἡ γὰρ κυματώδης τȣ̃ ἀέρος κίνησις τῇ προσβολῇ τȣ̃ τυμπάνȣ, κοινωνεῖται καὶ προσωτέρω, καὶ διὰ τῶν σωλήνων χωρεῖ, ὥστε ὥστε τὴν ὅλην ἐντὸς ἐπιφάνειαν παντός τε τȣ̃ κοιλώματος καὶ τῶν σωλήνων αὐτῶν, ὅσοι ποτέ εἰσὶ, καθ᾽ ἕκαστα τὰ σημεῖα, ἀπὸ τȣ̃ ἐπικειμένȣ ἀέρος, ἀλλεπαλλήλȣς τὰς προσβολὰς ἐπιδέχεσθαι, καὶ διὰ τὸ ὠστοφυὲς τῆς ὕλης, καὶ τὸ περιὸν αὐτῇ ἐλατήριον, πᾶσι τοῖς ἐν τῷ ὠτίῳ κοινωνεῖσθαι τὸν τρόμον, ἧς δὴ κινήσεως ἐξ ἀνάγκης μέτεστι καὶ τῷ νεύρῳ τῷ προσκειμένῳ.

Τὸ δὲ προχειρισθὲν παράδειγμα, εἰς διασάφησιν τῶν τῆς Ἀναλυτικῆς Μεθόδȣ κανόνων ἅλις ἔχειν δοκεῖ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 964. Ἐκ τέτε δὲ αὐτε̃ δῆλον, ὡς ἀλυσιτελεῖς οἱ κανόνες ἔσονται τῆς ὕλης, περὶ ἧς ὁ λόγος, ἀγνοεμένης. τῶν γὰρ κανόνων τὸ ὑποτιθέναι μόνον ἐςὶ, τίνι δήποτε τὸν νε̃ν προσεκτέον; ὁποῖον τὸ ἐπαιτέμενον εἰς γνῶσιν προεῖναι, καὶ τίνι δήποτε τάξει τὰς διανοήσεις διατακτέον; ὥςε λυθῆναι τὸ ζητέμενον, ἢ γε̃ν ὀρθῶθῆναι, ἐφ᾽ ὅσον ἂν χωρήσειν ἐπ᾽ αὐτῷ ἐλπὶς, μὴ καὶ μάτην πονοίημεν, ἀποπειρόμενοι τῶν ὑπὲρ δύναμιν.

Εἷς ἔτι κανὼν τοῖς ἤδη ἀναπτυχθεῖσιν ἐςὶ προσθετέος· ἀφεκτέον δὲ μὴ ἀλογεῖν αὐτε̃ ποτὲ, ἐφ᾽ οἷς χώραν λαβεῖν δύναται.

## Κανὼν ς'.

§ 965. „Ἐπὶ τῶν ἐκτὸς ἡμῶν ὑφεςώτων, „ὧν ἡ γνῶσις τῆς κατ᾽ ἦθος εἶναι λέγεται „ἐναργείας καὶ βεβαιότητος (455. 478) „ὀδέποτε δέον τὰ συμπεράσματα, (κἂν ἐξ „ἀληθῶν ἰδεῶν, κατ᾽ ὀρθὴν διανοίας ἔφοδον ᾖ, „ἐπισυνηγμένα) αὐτοῖς προσεφαρμόζειν τοῖς „πράγμασιν, εἰ μὴ δῆλον διὰ παρατηρήσεων „εἴη, μηδέν τι ἕτερον, ὃ τυχὸν ἐπὶ τε̃ συλλο„γισμε̃ παρώφθη, ἐμποδὼν ἵςαθαι, τε̃ ὀρθῶς „χωρεῖν τὸ ἐπιφερόμενον.

§ 966. Πολλὰ διαλανθάνει, τῶν τοῖς ὑφ᾽ ἡμῶν πραγματευομένοις ἐπανηκόντων. ῥᾷςα δέ τι τῶν ἀγνοεμένων μεταβαλεῖν δύναται τὸ συμπέρασμα, τὸ ἐκ μόνων τῶν αἷς προσέχομεν ἰδεῶν, ἐπαγόμενον, καὶ αἷς γε μόναις προσέχειν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ ἐχρῆν, παρὲν περὶ αὐτῦ τῦ πράγματος διασκέψασθαι. τὸ ἀνωτέρω (41) προχειρισθὲν ἡμῖν παράδειγμα, τὸν κανόνα τόνδε διασαφεῖ· ἀλλὰ καὶ ἕτερον ἤδη προθήσω.

§ 967. Ἐν πυξίδι ξυλίνη δοθείση, σφαῖραν σιδηρᾶν δοθεῖσαν ἐναποτεθεῖσαν ἀποκλεῖσαι ἔκ τε τῦ τῆς πυξίδος σχήματός τε καὶ μεγέθες, καὶ δὴ καὶ ἐξ αὐτῆς τῆς διαμέτρε τῆς σφαίρας ὀρθῶς ἂν εἰσβάλλοιτο. τόγεμην συμπερανθὲν, εἰς ἔργον ἀχθῆναι ἐχ οἷόντε τῇ τῦ σιδήρε πυρακτώσει τῆς σφαίρας προσδιορισθείσης.

## ΚΕΦΑΛΑΙΟΝ ΛΔʹ.

## Περὶ χρήσεως τῶν ὑποθέσεων.

§ 968. Πολλά ἐστὶν, ὧν τὴν ἔρευναν ἀναβαλλομένοις, ἐδεμία καταφαίνεται ὁδὸς, δι᾽ ἧς ὀρθῶς τε καὶ εὐθυπόρως, ἐπὶ τὸ βέβαιον ἀφικέσθαι γένοιτο, καὶ τότε δὴ τὸ πιθανὸν ζητητέον. Ἀλλὰ γὰρ ἐδὲ τῦτο πολλάκις ἔχειν οἷόντε, εἰ μὴ διά τινων ὑποθέσεων, αἳ ἐνίοτε ἐπὶ τοιάνδε ἄγεσιν ἡμᾶς πιθανότητα, οἵαν ἔχειν χρεὼν ἀντὶ βεβαιότητος (627).

Ὅπως δὲ ἐν τέτοις δέον χωρεῖν, ἤδη ἐρῶ, ἵνα μή τις τὴν τῶν ὑποθέσεων χρῆσιν, λανθάνοι ἐκ ἐν δέοντι καταχρώμενος.

§ 969. Ὑπόθεσις ἐστὶν ἐπίνοιά τις, δι᾽ ἧς τῷ προτεθέντι ζητήματι ἡ ἀπάντησις γίνεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 970. Μετιτέον τὴν κατ᾽ ἐπίνοιαν τήν δε ἀπάντησιν, ὡς εἴπερ ἀληθὴς ἐτύγχανεν. Αἱ δὲ διανοήσεις ἔτω διατακτέαι, ὡς ἐξεῖναι ἀνακρίναι, εἴπερ ἀληθὴς ἐςὶν ἡ ἐπίλυσις. Οὐδέποτε γὰρ συγκαταθετέον, ἐθ᾽ ἂν πληροφορίαν ἔχειν περὶ τῦ ἀληθῦς ἐχ οἷοντε.

§ 971. Χρειωδεςάτη δ᾽ ἂν εἴη, ἡ τοιαύτη διανοητικὴ μέθοδος (διὰ τῶν ὑποθέσεων), ἀλλὰ τὰ πλεῖςα ἐκ ὀρθῶς εἰσὶν οἱ ταύτῃ προσχρώμενοι.

## Κανὼν Α΄.

§ 972. „Ἀκριβῶς, τὸ περὶ ὃ τὸ ζήτημα, „ὑποκείμενον ἐξεταςέον, καὶ τέτε τὴν γνῶσιν „ἀποχρῶσαν ἔχειν χρεὸν.

§ 973. Ἐν χρήσει δὲ ἥκει ἡ περὶ ἧς ὁ λόγος συλλογιςικὴ δύναμις, ἐφ᾽ ὧν τὴν αἰτίαν ζητῦμεν τῶν ἡμῖν παρατηρεμένων, εἴτε πράξεις ὦσι ταῦτα ἀνθρώπινοι, εἴτε καὶ ἄλλα ὁποιαδήποτε̃ν.

§ 974. Πᾶν τὸ δι᾽ ὑποθέσεως ἀνακαλυπτόμενον, ἐδὲν πλέον ἢ πιθανὸν ἐςί. τὸ δὲ τῦ πιθανῦ μέγεθος, ἀπὸ τῦ ἀριθμῦ τῶν περιςάσεων ἤρτηται, αἳ ἔχεσιν ἐπιθεωρηθῆναι. ὀλιγαρίθμων γὰρ τέτων ὄσων, καὶ τὸ τῆς πιθανότητος μέτριον, τὐναντίον δὲ ὑπὸ τῶν πολυαρίθμων, ἅπας ἂν ὑπονοίας λόγος ἐκ μέσε γένοιτο (627).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Κανὼν Β΄.

§ 975. „Τῶν περιςάσεων αἱρετέον τινὰς „τὰς κυριωτέρας· τȣτέςι τὰς πρὸ τῶν λοιπῶν, „τὸ κατ᾿ ἐξοχὴν ἐχȣ́σας.

§ 976. Τȣ̃το δέτοι, ἵνα πρὸ τῶν ἄλλων αὐταὶς διερευνῶμεν.

## Κανὼν Γ΄.

§ 977. „Ἐκ τȣ́των αὖθις μία τις ἐν μέρει „λαμβάνεται, καὶ ζητȣ̃νται τρόποι τινὲς, καθ᾿ „ȣ̔̀ς ἂν αὐτὴ χώραν σχοίη.

Τȣτέςι ζητȣ̃νται αἰτίαι τινὲς ἐξ ὧν ἡ τοιαύτη ἂν περίςασις ἐπαχθείη.

## Κανὼν Δ΄.

§ 978. „Ἐξεταςέον πότερον, ἐν ταῖς δε „ταῖς αἰτίαις, ἔςι τις ἐξ ἧς αἱ λοιπαὶ τῶν „περιςάσεων κατὰ τὸ διορισθὲν ἐν τῷ Β. κα„νόνι, παρέπονται; εἴ τις γὰρ ἐςὶ τοιαύτη, „αὕτη τὴν Φιλοκρινητέαν συνίςησιν ὑπόθεσιν.

§ 979. Παράδ. Ουγένιος τὸν Κρόνον πολλάκις παρατηρήσας, καὶ νῦν μὲν ςρογγύλον κατιδὼν, νῦν δὲ ἀμφωτίδας, οἷον ἑκατέροθεν προβαλλόμενον, παραλλαγήν τινα κατὰ τὸ εὖρος παχȣ́σης, τάς τε ἰδιωτέρας ἄλλας περιςάσεις τῶν τοιῶνδε Φαινομένων ἐπισημειωσάμενος, τȣ́των ἁπάντων τὰς αἰτίας θηράσασθαι ἐπεχείρησεν. Διερευνομένος τοίνυν τȣ̀ς τρόπȣς, οἷς περ ἂν αἱ ἀμφώτιδες αὗται ἀναπτυχθεῖεν, ἐπενόησεν, ὅτι σφαῖρα, ὑπὸ δακτυλίȣ πανταχόθεν, ἐπὶ ποσὸν διάςημα ἀφεςῶτος, ςεφα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεμένη, ὁμοκέντρε τῇ σφαίρᾳ τυγχάνοντος, οἷον ἀμφώτιδας ἔχεσα φαίνεσθαι εἰκος, ὧν τὸ εὖρος μείζοντε καὶ ἔλαττον, κατάγε τὴν διαφορὰν τῆς τε ὀφθαλμε θέασεως.

Εἶτα καὶ τὰς λοιπὰς τῶν περιςάσεων ἐπιςαθμησάμενος κατενόησε, τὸ τοιόνδε σφαίριον, περιφερὲς καὶ ςρογγύλον καταφαίνεσθαι, τετέςι τὰς ἀμφώτιδας ἀποίχεσθαι, ἐὰν τὸ ἐπίπεδον τε δακτυλίε λεπτόν τε ᾖ, καὶ ἔτω κείμενον, ὡς συνεχισθὲν διὰ τε ὀφθαλμε ἂν διελθεῖν· ἢ ἐὰν μὴ καταφωτίζοιτο ἡ ἐπιφάνεια, ὑπὲρ ἧς ἂν ὁ ὀφθαλμὸν αἴροιτο. Τηνικαῦτα τοιγαρεν ὁ εὐφυὴς ἀνὴρ, ἐρεύνῃ καθυπήγαγε τὴν ὑπόθεσιν· Τοιῷδέ τινι δακτυλίῳ τὸν Κρόνον περιςέφεσθαι.

§ 980. Συμβαίνει δὲ πολλάκις, ἐν αἷς ἐπικρίνειν ἐπιχειρεμεν αἰτίαις, μηδεμίαν εἶναι, ἥτις ἂν ταῖς λοιπαῖς τῶν περιςάσεων χωρὶς (975) ἐπαρκέσειε. Καὶ τότε δὴ αἰτίαι ἄλλαι ζητητέαι, καὶ δὴ κατὰ μίαν ἐφεξῆς αἱ αἰτίαι πᾶσαι διασκεπτέαι, ἃς ἑκάςη τῶν περιςάσεων χορηγήσειεν, ἕως ἂ μία τις ἀνακαλυφθῇ, ἣ πάσαις ἅμα ταῖς περιςάσεσιν ἐναποχρήσειε. Ἰδιάζεσά τις εὐφυΐα τε καὶ δεξιότης, ὡς κἀπὶ τῆς ἀνακαλύψεως τῶν μέσων ἰδεῶν (870), κἀνταῦθα ἐναπαιτεῖται· καίτοι, συμβαίη ἂν ποτε κατ᾽ εὐκληρίαν, καὶ αὐτόματον οἷον ἡμῖν προσπίπτειν τὸ ζητέμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Κανων Ε.

§ 981. „Διερευνᾶται ἡ ὑπόθεσις, προσαρ„μοζομένη, ἁπάσαις ταῖς καταφανέσι καὶ „δήλαις περιςάσεσιν, ἵνα δὴ φανερὸν γένηται, „εἰ καὶ πάσαις ταῖσδε ἐναποχρῶσα ἐςί.

§ 982. Οὐκ ἅλις τόδ᾽ ἔχον ἐςὶν, εἰ μόναις ἐναπέχρη ταῖς περιςάσεσιν ἐν τῷ μέρει ἡ ὑπόθεσις, εἰ μὴ γὰρ καὶ ταῖς λοιπαῖς ἁπάσαις προσήκουσα εἴη, ἀποβλητέα ἐςίν. Ἐὰν δὲ καὶ ταύταις ἐπαρκέσειεν, ἐκ τοῦ ἀριθμοῦ τῶν περιςάσεων ἠρτημένη ἔςαι, ἡ περὶ τῆς τοιᾶσδε ὑποθέσεως κρίσις. Ἐὰν γὰρ ὁ ἀριθμὸς ἐλάσσων ᾖ ὑποπέσοι ἄν τις ὑπόνοια, καὶ ἄλλην τυχὸν δοθῆναι δύνασθαι ὑπόθεσιν, ἣ παραπλησίῳ τῷ τρόπῳ τοῖς φαινομένοις συνάδοι· τοῦ δὲ τῶν φαινομένων ἀριθμοῦ αὔξοντος, πᾶσα πολλάκις ὑπόνοια ἐκ μέσου αἴρεται (627). καὶ τότε δὴ ἐμμενετέον ἐπαρκουμένους, καὶ ὅπερ ἐν ἀρχῇ, ὡς πλάσμα μόνον λογίζεσθαι εἶχε, δοξαςέον ἤδη καὶ πρεσβευτέον, ὡς πληρέςατα ἀποδειχθέν.

§ 983. Ἐὰν δὲ ὁ τῶν περιςάσεων ἀριθμὸς ἐλάσσων ᾖ, ἡ σημειωθεῖσα ὑπόνοια, τῇ χρήσει τοῦ ἐφεξῆς κανόνος, συνεχῶς ἐκτοξεύεται.

## Κανὼν ς.

§ 984. „Αὐτὴ ἡ ὑπόθεσις ἐξεταςέα ἐςὶ, „κἀξ αὐτῆς αἱ συνέπειαι ἐπακτέαι, ἵνα καί„νά τινα φαινόμενα ἀνακαλυφθῇ. παρατηρη„τέον δὲ εἰ ταῦτα, τῷ ὄντι χώραν ἔχει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 985. Ἡ τοῦ περὶ τὸν Κρόνον δακτυλίου ὑπόθεσις, οὐ μόνον ἀνέπτυσσε τὰ ἤδη παρατηρηθέντα φαινόμενα, καὶ ταῖς ἐλαχίσταις τῶν περιστάσεων ὡμολόγει, ἀλλὰ καὶ τὰ ἐκ ταύτης ἐπιφερόμενα τῶν φαινομένων ἐπὶ τῶν οὐρανῶν ὕστερον παρατετήρηται, ὥστε τὸν Οὐγένιον, τὰς τοῦ Κρόνου φάσεις προειπεῖν, καὶ τούτων ἑκάστης τοὺς χρόνους διορίσαι καὶ πῆξαι, δι' ὧν ἁπάντων ἀμφιβολίας ἐκτὸς ἐτέθη, ἃ περὶ τοῦ δακτυλίου πρῶτον αὐτὸς ἀνεπλάσατο.

§ 986. Ὁπότε οὐδὲ τῇ τοῦ ἐσχάτου κανόνος βοηθείᾳ, ὁ τῶν φαινομένων ἀριθμὸς ἱκανῶς ἐπαυξῆσαι δύναται, ὡς ἅπασαν ἀπαχθῆναι ὑπόνοιαν, ἐν τοῖς ἀβεβαίοις ἢ ὁμοιαληθέσι τὴν ὑπόθεσιν παραλειπτέον ἐναρίθμιον, καθ' ὅσον τὸ κατ' αὐτὴν πιθανὸν μᾶλλον ἢ ἧττον πιθανῶς ἔχει, τὸ ἐκ τῶν φαινομένων, καὶ τοῦ ἀριθμοῦ τούτων ἐχόμενοι.

§ 987. Βλέπομεν δὲ, ὅτι τὸ ὑποθετικῶς συλλογίζεσθαι πρὸς βεβαιότητα ἀγαγεῖν ἡμᾶς δύναται· ὁρῶμεν δὲ καὶ τοὺς ἅπαντας τοὺς τοιούσδε συλλογισμοὺς, εἰς πιθανολογίαν ἀναφέροντας, ἐξαπατωμένους.

§ 988. Μείζονι δὲ τῇ ἀπάτῃ περιπίπτουσιν, οἱ τὴν συλλογιστικὴν ἔφοδον, τὴν ἐκ τῶν παρατηρηθέντων φαινομένων ἀμέσως ἐπιφερομένην, εἰς τὴν ὑπόθεσιν ἀνάγοντες, ἵν' αὐτῇ ἔπειτα μόνον τὸ πιθανὸν προσάψωσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 989. Εἰς ταύτην δὲ τὴν ἀπάτην πολλοὶ περιπίπτουσιν, ὅτε λόγος ἐστὶν αὐτοῖς περὶ τῆς κατὰ τὸν Νεύθωνα τῶν οὐρανίων φαινομένων ἀναπτύξεως. ταύτην ὑποθετικὴν ὑπειλήφασιν εἶναι, ὁπότε ὁ μέγας τὴν σοφίαν Ἀνὴρ ἐκεῖνος οὐδὲν ἔθετο, τὸ μὴ Γεωμετρικῇ συλλογισμῶν ἐφόδῳ, ἐξ ἀναμφισβητήτων φαινομένων συμπερανθὲν, οὐδεμιᾶς συγχωρηθείσης, οὐθ' ὥς τε ἐξετασθῆναι, ὑποθέσεως.

§ 990. Ἡ τέχνη τοῦ δι' ὑποθέσεων συλλογίζεσθαι, μάλιστα χώραν ἔχει, ἐφ' οἷς διορίσαι ἐπιχειροῦμεν, τίποτε ἄρα κατὰ νοῦν τινες φέρουσι, καὶ τί τὸ κινοῦν αὐτοὺς εἰς ἐνέργειαν.

§ 991. Περὶ ὅ μέν τι παρατηρητέον, μηδενὸς τοιούτου τὴν ἀπόπειραν δεῖν λαμβάνειν, τὸν χωρὶς τῆς τῶν ἀνθρώπων κοινωνίας βιωτεύοντα, ἢ τὸν σὺν ὀλίγοις διανέξεις πραγμάτων εἰληφότα, κἂν εἰ καὶ τὸ ζῆν ὅλον ἔτος εἴη καταδαπανήσας, ἐν τῇ ἀναγνώσει τῶν συγγραφῇ παραδεδομένων ἀνθρωπίνων πράξεων.

§ 992. Πρὸς δὴ τοῦτο σπουδῇ προσεκτέον, μηδέποτε, εἰ μὴ ἐκ δήλων τε καὶ γνωρίμων περιστάσεων συλλογίζεσθαι δεῖν, καὶ γὰρ καὶ αἱ ἐλάχιστοι ἐξ αὐτῶν, τοῖς τοιοῖσδε συλλογισμοῖς μέγιστον τὸ τῆς σαφηνείας φῶς ἐπιχέειν πεφύκασι (695).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

## Περὶ τῆς τῶν ἀδήλων γραμματικῶν χαρακτήρων διασαφήσεως.

§ 993. Οἱ ἐπὶ τοῦ πρὸ τοῦδε κεφαλαίου ἐκτεθέντες κανόνες, ἰδιαζόντως εὐχρηστοῦσι, καὶ ἐπὶ τῇ ἀναγνώσει, τῶν ἐν ἀδήλοις τοῖς χαρακτῆρσι, συγκαλυπτομένων.

Βραχέα περὶ τῆσδε τῆς τέχνης ὑπομνῆσαι ἴσως οὐκ ἄχαρι, ἐπεὶ καὶ ἐπίσημα παρ' αὐτῆς ἐστὶ λαβεῖν δείγματα, τοῦ ἀνακαλύπτειν τ' ἀληθές, διὰ συλλογισμῶν τῶν κατ' ἀρχὰς μὲν λίαν ἀβεβαίων, τέως ἀλλ' οὖν, νῦν διὰ μιᾶς πλαττομένης ὑποθέσεως, νῦν δὲ δι' ἑτέρας, οἱονεὶ κατ' ἀπόπειραν, τὴν τοῦ ἀληθοῦς ἔσχατον πύλην ὑπανοιγόντων.

Τοῖς ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ ἐκτεθεῖσι κανόσι προσθετέον καὶ τὰ ἑξῆς.

§ 994. Πρὸ πάντων τὸν κατάλογον τῶν χαρακτήρων ληπτέον, ἐπιγραπτέον τε ἐφ' ἑκάστῳ, ὁσάκις ἐν τῇ ἀναπτύξει τοῦ γράμματος ἀπαντᾷ.

Πολλάκις μὲν γάρ, οὐ πολύ τι ἐντεῦθεν τὸ φῶς ἀποφερόμεθα. πλὴν οὐδενὸς ἐπὶ τῶν δυσχερεστέρων ἔργων παραμελητέον.

§ 995. Εἰς τήρησιν τοῦ Α'. κανόνος (979) τῶν ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ ἀπαιτεῖται, α'. τὴν τοῦ διασαφητέου γράμματος διάλεκτον, δήλην εἶναι, καὶ καλῶς ἡμῖν γινωσκομένην· τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ ἐστὶ ἀδύνατον ὅλως, ἀγνοουμένης διαλέκτου ἀναγνῶναι τὸ γράμμα· καί τοι τὸν Βιέταν ταύτης γενέσθαι τῆς τέχνης ἐπήβολον εἰσὶν οἱ μνήμῃ παρέδωκαν.

996. β'. Κατὰ θεσμὸν ἂν εἴη, πολλοὺς τῶν ἐν τῷ γράμματι χαρακτήρων, ποσάκις ἐπαναλημμένους κεῖσθαι. Ἐν γὰρ τῇ διαφόρῳ τούτων θέσει; ζητητέον τὰς περιστάσεις ἃς πρόκειται ἐξετάσαι.

§ 997. Βραχὺ μὲν τὸ γράμμα ἀναπτυχθῆναι δύναιτο ἄν, εἰ ἕκαστον τῶν γραμμάτων, δι᾽ ἑνὸς μόνου χαρακτῆρος ἐκδηλῶτο, καὶ μάλιστα ἐὰν τὰ ὀνόματα χωρὶς κείμενα ᾖ. Ἔνθα δὲ πλείονες χαρακτῆρες εἰσίν; ἐπειδὰν δύο ἢ τρεῖς τὸ αὐτὸ ἐκδηλοῦσι στοιχεῖον, καὶ τὰ δισσευόμενα στοιχεῖα, ἢ πολλάκις συνεπιζευγνύμενα, χαρακτῆρι ἰδιάζοντι καὶ αὐτὰ ἐπισημαίνεται, (ὃ καὶ ἐπὶ ὁλοχερῆ ὀνόματα ἀνάγεσθαι δύναται) τότε δὴ μακρότερον ἀπαιτεῖται τὸ γράμμα; καὶ τοσούτῳ πλατύτερον, ὅσῳ μείζων ἐστὶ τῶν χαρακτήρων ὁ ἀριθμός, ὡς ἂν ἑκάστου τούτων ἡ σημασία ἐκτὸς ἀμφιβολίας τεθῇ.

§ 998. Τοῦ β'. κανόνος ἡ ἐφαρμογὴ (975) γίνεται, παρατηρουμένων τῶν ἐν τῇ τῶν χαρακτήρων θέσει ἰδιαζόντως ἐχόντων, ὁπότε οἱ αὐτοὶ χαρακτῆρες ἐπανίασιν, ἢ ἐν τῇ τῶν ποικίλων διαθέσει, ἐμφέρειά τις ἐνδιαστάζεται.

§ 999. Ἵνα δὲ ἡ ἐφαρμογὴ αὕτη τοῦ β'. κανόνος, σαφεστέρα γένηται, ὑπόδειγμά προθήσω,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐ δήπε τῶν εὐχερεςάτων, ἅλις ὅμως μετέχον ἀπλέτητος. Ἡ μὲν διάλεκτος, ἡ λατινὶς ἐςὶ· ἡ δὲ ἀδηλία, παρὰ τὴν ἀμοιβὴν τῆς τῶν ςοιχείων σημασίας ἤρτηται.

§ 1000. Διαφέρει δὲ ἐδὲν, ἐὰν ἔτως εἴτε ςοιχεῖα παραλαμβάνοιτο, εἴτε ἀριθμοὶ, εἴτε σημεῖα ὁποῖα δηποτἒν. Ἡ συλλογιςικὴ περὶ ταῦτα μέθοδος ἡ αὐτὴ ἔςαι.

§ 1001. a b c d e f g h i k f l m k g n e k d g e i h e k f b c e c f i c l a h f c g f g o i n e b h f b h i c e i k ff m f p i m f h i a b c q i b c b i e i e a c g b f b c b g p i g b g r b k d g h i k f s m h h i t e f m.

§ 1002. Πρὸ πάντων ἐν καταλόγῳ ἀναγράφω τὰ ςοιχεῖα, καὶ ἐπισημειῶ ὁσάκις τέτων ἕκαςον ἐπάνεισι, καὶ πρῶτα τίθημι, συνεχέςερον ἀπαντῶντα.

§ 1003. f. 14. g. 10. m. 5. n. 2. r. 1.
i. 14. c. 9. a. 4. p. 2. f. 1.
b. 1?. h. 8. d. 3. o. 1. t. 1.
e. 11. k. 8. l. 2. q. 1.

§ 1004. Παρατηρῶ ἐννεακαίδεκα μόνες δίδοσθαι χαρακτῆρας, ἐν οἷς πέντε μόνοι ἅπαξ ἀπαντῶσιν. Ἐπιφέρω, ὅτι ἐπὶ ἑκάςῳ γράμματι εἷς μόνον χαρακτὴρ παραλαμβάνεται.

§ 1005. Ἵνα τὰ ἑπόμενα ῥᾴδιον νοοῖντο, τὸ γεγραμμένον ἐκαναληφθὲν παρίςημι, ἐπι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμμεμιγμένος κεφαλαιωδεστέροις γράμμασι τοὺς τόπους περὶ ὧν ἐν τοῖς ἑξῆς μνεία γενήσεται.

§ 1006. A B
abcdef ghikf: lmkgnekdgei
C D
hekf: bceeficlah fcgfg oineb
E F G H I
hfbhice ikf: fmf pimfhi abcqibcd
K L M
ieie acgbfbcbgpi gbgrbkd ghikf:
smkhitefm.

§ 1007. Παρατηρῶ δὴ νῦν τοὺς ἐπισήμους τῶν τόπων, καὶ τούτων ὀλίγους τοὺς ἐξαιρέτους, καὶ ἀνακαλύπτω, πέντε στοιχεῖα ghikf, τῇ αὐτῇ τάξει δὶς ἀπαντᾶν (B. M). ἀλλαχοῦ δ' αὖθις ἐπαναλαμβάνεσθαι ikf (F): τελευταῖον κατανοῶ hekf (C), πρὸς τὸ hikf; (B. M) ἀναφοράν τινα ἔχειν.

§ 1008. Τοὺς οὖν τόπους τούτους παρασημειῶ; καὶ συνάπτω πιθανὸν εἶναι, ἐν τοῖσδε τοῖς τέτταρσι τόποις τὰς φωνὰς ἀπολήγειν, ὃ καὶ τῶν σημείων τεθέντων: δεικτέον ἦν.

§ 1009. Οἱ τρεῖς ἔσχατοι τῶν κανόνων; συμμίκτως ἐφαρμοστέοι εἰσί; καὶ παραβαλλομένων; τῶν ἃ ἐπὶ τῆς τῶν χαρακτήρων θέσεως παρατηροῦμεν, τοῖς ἃ ἐπὶ τῶν λατινικῶν φωνῶν, περὶ τῆς τῶν γραμμάτων τάξεως ἴσμεν; ὑποθέσεις τινὲς ἀναπλαστέαι εἰσί· καὶ τούτων



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκάςῃ, τῇ πρὸς ἄλλοις τόποις προσεφαρμόσει τῆ προτεθέντος γράμματος ἐξετασέα.

Ἐρῶ νῦν, οἷς τισι λόγοις, τὸ προτεθὲν γράμμα (1001) ὑπ' ἐμῆ ποτε ἐπιλέλυται. Ἀλλ' ἐκεῖνα μόνον ἐπισημειώσομαι, ἃ εἰς ἀνακάλυψιν τῶν ἀδήλων συνετέλεσε χαρακτήρων, ἀποβληθέντων τῶν μηδὲν τὸ ὄφελος παρεχηκότων.

§ 1010. Παραβάλλω hikf (B. M) πρὸς hekf (C) κατὰ τῆσδε τῆς τόπῆς αἱ φωναὶ τερματίζονται (1008)· κοινοὶ δὲ ἐπὶ τῆς λατινίδος ἀποτερματισμοὶ εἰσὶν, ἐν οἷς μεταξὺ τεσσάρων ςοιχείων, μόνα τὰ προπαραλήγοντα διαφέρει, ἃ ὡς τὰ πολλὰ φωνήεντα ἐςίν. Ἡ τοιάδε εἰκασία, ὡς i καὶ e φωνήεντα ἐςὶ, κρατύνεται, διὰ τὸ τῆς τοιῆτης χαρακτῆρας εἶναι τῶν συνεχέςερον ἀπαντώντων (1005).

§ 1011. Τοιγαρῆν ὅτι i καὶ e φωνήεντα ἐςὶν ἐκ ἀπίθανον.

§ 1012. Ἀρχὴ τῆς φωνῆς γίνεται κατὰ τὰ fmf (CG) (1008). Ἄρα ἢ τὸ f ἢ m φωνῆεν ἐςίν. Ἀλλὰ γὰρ τὸ m πεντάκις μόνον εὑρίσκεται, τὸ δὲ f δεκάκις ἢ τετράκις (1005), τὸ πιθανώτερον ἄρα τῆτῳ περίεςι.

§ 1013. Πιθανὸν ἄρα τὸ f φωνῆεν τυγχάνειν, τὸ δὲ m σύμφωνον.

§ 1014. Ἐπιςαθμῶμαι τὸν τόπον ghfbcbg (K). τὸ f φωνῆεν ἐςὶ (1013), τὸ ἄρα b σύμφωνον. ὥςε καὶ τὸ c φωνῆεν ἔςαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1015. Ἀποσημειȣ̃μαι τοίνυν ὅτι πιθανὸν τό μεν c Φωνῆεν εἶναι, τὸ δὲ b σύμφωνον.

§ 1016. Ἐπὶ τȣ̃ gbgrb ( L ) τρία σύμφωνα χωρεῖ· τȣτέςι b, b, (1015), ϗ r, ὅτι ἅπαξ μόνον ἐπὶ τȣ̃ γράμματος φέρεται ( 1003 ).

§ 1017. Τὸ ἄρα g πιθανῶς φωνῆεν ἐςί.

§ 1018. Πάντα ταῦτα τὰ συμπεράσματα, ἐν τοῖς πιθανοῖς μόνον τίθημι, καί τοι τὰ ἔχατα σαφῶς ἐκ τῶν προτεθέντων ἕπεται· ἀλλὰ πάντων ὁ θεμέλιος (1012. 1013. 1014) πιθανῶς μόνον ἔχων ἐςί.

§ 1019. Ἐπὶ τȣ̃ fcgfg ( D ) πέντε φωνήεντα πάρεςιν ἰδεῖν ( 1013. 1015. 1017 ). Ἀλλὰ τόδε ȣ̓δέποτε τοιᾷδε τάξει συμβαίνει, κἂν θῶμεν v ϗ u, τῷ αὐτῷ χαρακτῆρι ὑποσημαίνεσθαι καθάπερ ϗ j ϗ i. ὅπερ ἐκ τȣ̃ ἀριθμȣ̃ τῶν χαρακτήρων συμπεραίνεσθαι δύναται ( 1014 ). ψευδὴς ἄρα ἡ ἀρχὴ ( 1012 ). ἐξ ἧς συνεπεράναμεν, ὅτι f, c, g, φωνήεντα ἐςί. τοιγαρȣ̃ν ἀποφαινόμεθα, ὅτι τὸ f φωνῆεν ȣ̓κ ἔςιν, ἀλλὰ τὸ m τοιȣ̃τον, ϗ τόδε νῦν ὡς βέβαιον ἔχομεν ( 1012 ).

§ 1020. Τίθεμεν νῦν, ὅτι τὸ μὲν m φωνῆεν, τόδε f σύμφωνον.

§ 1021. Ἐκ τȣ́τȣ ἕπεται, ὅτι τὸ b φωνῆεν ( 1014 ).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1022. Ἐπὶ τῦ gbfbcbg (K) τόπον ἔχομεν ἐπίσημον, ἐν ᾧ τὸ αὐτὸ φωνῆεν τρὶς ἐπαναλαμβάνεται, ἑνὸς ἑκάστοτε ἐπιφερομένε σοιχείε. Οὕτως ἦν ἤδη καταγράφω τὰ φωνήεντα.

a a a
e e e
i i i
o o o
u u u.

Καὶ τὰ σύμφωνα ἐπιφέρων, ζητῶ ἔτι ἀνακαλύψαι ἂν ἔχοιμι, τῇ λατινίδι προσεπανῆκον φωνῇ. Ἀυτίκα ἦν ἀπαντᾷ μοι legere, edere, emere κξ. ἀνευρίσκω δὲ καὶ amare, si tibi. τυχὸν δὲ καὶ ἄλλα εὕροιμι ἄν, ἀλλ' ἔπω ταῦτα ζητῶ. συννεννοῶ γὰρ ὅτι τὸ e συνεχέστατα ἔτω τρὶς ἐπαναλαμβάνεται.

§ 1023. Τὸ ἄρα b πιθανῶς ἔχειν e.

§ 1024. Οὕτω δὲ καὶ τὸ c πιθανῶς ἐςὶν r.

§ 1025. Γράφω gibcbieie (I) ὑποση-
ere
μειῶν τὰς τῶν σοιχείων εὑρεθείσας δυνάμεις. Περαιτέρω i καὶ e φωνήεντα ἐςὶν (1011), ἀλλ' ἔτω ταῦτα διαταχθῆναι ἐκ ἂν ἔχοιεν, εἰ μὴ θάτερον ὡς σύμφωνον ἐκλαμβάνοιτο, τετέςιν εἰ μὴ θάτερον ᾖη j ἢ v.

Ἐὰν ἦν θῶ j, ἐδὲν εὑρήσω. ἐὰν δὲ θῶ v, αὐτίκα ἕξω revivi.

§ 1026. Τὸ ἄρα i πιθανῶς ἐςὶν v.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1027. Τὸ δὲ e πιθανῶς ἐςὶν i.

§ 1028. Τὸν αὐτοὶ ἓν τόπον καταγράφω ἤδη, μετὰ τῶν ἡγεμένων τε καὶ ἑπομένων.

*u er uerevivi*
iabcgibcbieieac
Καὶ ἀναγινώσκω *uterque* revivit.

§ 1029. Ἄρα τὸ μὲν a ἐςὶ t, τὸ δὲ g ἐςὶ q.

§ 1030. Ἤδη δὲ καὶ ἐπὶ τῦ ἑτέρε τῦδε τόπε ἐπισημειῦμαι τὰς δυνάμεις τῶν ςοιχείων τὰς ἤδη ἀνακαλυφθείσας.

*e uriu*
hfbhiceikf (EF)
καὶ ἀναγινώσκω efuri*unt*.

§ 1031. Τοιγαρῦν h ἐςὶ s, k ἐςὶ n, καὶ f ἐςὶ t. Ἀλλὰ γὰρ εὕρομεν a εἶναι t (1029), διοριςέον ἄρα ποτέρωσε τὸ πιθανὸν ἐπικρατεῖ. Ἐπὶ μὲν ῦν τῶν γεγραμμένων τὸ μὲν a τετράκις ἀπαντᾷ, το δὲ f τεσσαρασκαιδεκάκις (1003). Μεταξὺ δὲ τῶν συμφώνων τὸ t συχνότατα ἐμφιλοχωρεῖ ἐπὶ τῆς λατινίδος φωνῆς. Παρὰ ταῦτα τὸ ikf, τρὶς ἑυρίσκεται (B. F. M). τὸ δὲ unt συνήθης ἐςὶ τῆς λατινίδος κατάληξις.

§ 1032. Ἔχω τοίνυν τὸ f ἀντὶ τῦ t, καὶ ζητητέαμοι ἐξ ἀρχῆς ἡ τῦ a δύναμις, καὶ δὴ καὶ ἡ τῦ q. Ἀλλ᾽ ἐν τοσῦτῳ, καὶ ἐπὶ ἕτερα μεταβῆναι δυνάμεθα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1033. Ἔχομεν ἤδη πρότερον, ὅτι τὸ m φωνῆεν ἐστὶ (1020). ἤδη μὲν οὖν ἀνεκαλύφθησαν e, i, u.

§ 1034. Ἄρα m, ἤτοι a ἐστὶν, ἢ o (1004).

§ 1035. Καὶ γράφω τοίνυν οὕτω τοὺς τόπους G καὶ H.

tat uatsu
tot uotsu
fmf p imfhi

Δῆλον οὖν ὡς ἀναγινώσκειν δέον tot quot fu.

§ 1036. Ἄρα, m ἐστὶν o, καὶ p ἐστὶ q.

§ 1037. Προστίθημι τὸν N. 1028 ἐξετασθέντα τόπον, τὰς ἐκεῖσαι ἀνακαλυφθείσας ἀποβάλλων σημασίας (1032), καὶ ἔχω tot quot fu. er. uere vivi.

Καὶ ἀναγινώσκω tot quot fuperfuere vivi p.

§ 1038. Ἐπανορθοῦμαι ἤδη τὰς διαμαρτίας N. 1028. καὶ 1029, τὰς ἀνακαλυφθείσας (1032), καὶ ἔχω, a ἐστὶ p, καὶ q ἐστὶ t.

§ 1039. Ἀρχὴ τοῦ γράμματος ἐστὶ.

*per it funt*
a b c d e f g h i k f

Συμφανὲς ἐστὶ δεῖν ἀναγινώσκειν. perdita funt.

§ 1040. Ἄρα d ἐστὶ d, καὶ g ἐστὶν a.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1041. Νῦν ἒν περὶ τῶν εἰς τόδε ἀνακαλυφθέντων ἐδὲν ἀμφιβάλλειν μοι δοκῶ, καὶ ἐν τῷ καταλόγῳ τῷ ἐπὶ τῇ καταγραφῇ τῶν ἀνακαλυπτομένων χαρακτήρων, καὶ σημειώσει τῆς τέτων δυνάμεως, προτεθέντι, ταῦτ' ἔχω.

| | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|
| a | p | e | i | i | u | n | | r |
| b | e | f | t | k | n | o | | s |
| c | r | g | a | l | | p | q | t. |
| d | d | h | s | m | o | q | f | |

§ 1042. Ῥᾷστα τὰ ἐλλείποντα ἀνακαλύπτεται, ἐὰν μεταξὺ τῶν ςίχων τἒ προτεθέντος γράμματος, αἱ ἀνακαλυφθεῖσαι τῶν χαρακτήρων δυνάμεις σειμειωθῶσι.

a b c d e f g h i k f l m k g n e k d g e i h
*p e r d i t a ſ u n t . o n a . i n d a i n s*
e k f b c e e f i c l a h f c g f g o i n e b h f
*i n t e r i i t u r . p s t r a t a . u . i e s t*
b h i c e i k f f m f p i m f h i a b c q i b
*e ſ u r i u n t t o t q u o t s u p e r f u e*
c b i e i e a c g b f b c b g p i g b g r b k d
*r e v i v i p r a e t e r e a q u a e a . e n d*
g h i k f s m k h i t e f m.
*a s u n t . o n s u . i t o.*

§ 1044. Ἀναγνωςέον ἒν· perdita ſunt bona. τὸ ἄρα l, ἐςὶ b.

§ 1045. Ἐὰν ἒν ἤδη τεθῇ ἀντὶ τἒ l τὸ b, καὶ ἐν τῷ ἄλλῳ μέρει ἔνθα εὑρίσκεται, ἔχομεν urbp. ἔδει δὲ εἶναι urbs, ὃ καθ' ἑαυτὸ δῆλον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1046. Ῥᾳ̃ςα νοȣ̃μεν, ὅτι ſtrata. u. i eſt, ἀναγνωςέον ſtrata humi eſt.

§ 1047. Ἄρα, n ἐςὶν m, τό,τε ὄνομα, τὸ κύριον τὸ ἐπὶ τȣ̃ πρώτȣ τῶν ςίχων ἐςὶ Mindarus ἔνθα μέντοι ἐςί τι ἐσφαλμένως γραφόμενον, λόγος γὰρ ἐςὶ περὶ τȣ̃ Μινδάρȣ.

§ 1048. Λείπεται ȣ̃ν ἔτι r, s, t, ἀλλὰ καὶ ταῦτα ῥᾳ̃ςα ἀνακαλύπτεται. καὶ δὴ ἔχομεν τὰ ἑξῆς.

§ 1049. Perdita ſunt bona. Mindarus interiit. Urbs ſtrata humi eſt. Eſuriunt tot, quot ſuperfuere vivi. Praeterea quae agenda ſunt conſulito.

§ 1050. Ἐκτέθηται ἡμῖν ἐπὶ λεπτȣ̃ ἡ μέθοδος ᾗ αὐτοὶ ἐχρησάμεθα ἐπὶ τῇ ἐπιλύσει τȣ̃ προτεθέντος γράμματος, παραλειφθέντων πάντων τῶν ἀλυσιτελῶν. περὶ ἃ παρατηρητέον ὅτι πολλῶν τοιȣ́των ἐρευνήσεων ἐξ ἀνάγκης δέον ἀποπειρᾶσθαι· ἐπεὶ σπανίως γίνεται περιπίπτειν ἡμᾶς παραυτίκα τῷ μέρει, ἐξ ȣ̃ διὰ τῶν ἐκ συλλογισμȣ̃ ἀνακαλυφθέντων, καινόντι φῶς ἂν πορισαίμεθα. Αἱ τοίνυν μεσιτεύσασαι ἐκεῖναι διερευνήσεις παρελείφθησαν.

§ 1051. Ἀλλ᾽ ἤδη πάντα τὰ ἀνήκοντα ταῖς κατὰ μέρος ἐρεύναις σεσημείωκα. Ἀπεφηνάμην (1019) μηδέποτε τὰ πέντε φωνήεντα τοιᾷδε τάξει fcgfg διατίθεσθαι, τὴν ἀπόδειξιν τȣ̃ τοιȣ́τȣ μὴ ἐπαγαγών, ἀλλ᾽ ἤδη καὶ ταύτην ἔχε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1052. Τὰ τρία πρῶτα σοιχεῖα διορίζει τὰ ἔχατα. Ἀλλ' ἐκ τῶν πέντε Φωνηέντων, ἕλοιτ' ἄν τις τὰ τρία, κατὰ δέκα τρόπες· καὶ ἐφ' ἑκάσε δὲ τρόπε, τὰ αἱρετὰ σοιχεῖα, ἐν τάξει διαφερέσῃ, καθ' ἕξ ἂν τρόπες διαταχθεῖεν.

Ἄρα ἑξήκοντα μόνον δυναταὶ εἰσὶ τῶν Φωνηέντων διατάξεις, αἱ τῶν ἐν τῷδε τῷ σίχῳ γραμμάτων ἀνακύπτεσαι (λέγω τῶν fcgfg). ἐξετασθεισῶν ἓν τῶνδε τῶν ἑξήκοντα ἐκταξεων, ἐν ᾧ ἐδεμία δυχέρεια ἀπαντᾷ, γίνεται Φανερὸν, μηδαμῶς ἐνταῦθα τὰ τρία Φωνήεντα ἐμφιλοχωρεῖν.

§ 1053. Δεῖ δὲ συχνὰ ἀνατρέχειν ἐπὶ τὰς τῆδε παραπλησίας τῶν γραμμάτων μεταθέσεις. διὸ δέον προγινώσκειν, τὰ περὶ τῶν τοιέτων ὑπὸ τῶν μαθηματικῶν διδασκόμενα.

§ 1054. Εἴδομεν ἀνωτέρω, ὡς δυνατὸν τὲς χαρακτῆρας πολλαπλασιάσασθαι (997). καὶ τότε μείζων ἐν τῇ ἀναπτύξει τῶν γεγραμμένων ἐςὶν ἡ δυχέρεια, καὶ μάλιςα, ἐὰν πλείονες ὦσιν οἱ διαφέροντες χαρακτῆρες, δι' ὧν, τὰ συχνότερον ἀπαντῶντα τῶν γραμμάτων ἐπισημαίνονται. Καὶ ἄλλας δὲ ἔτι ἰδιαζόντως δυνατὸν μετιέναι τέχνας, εἰς αὔξησιν τῆς δυσκολίας, ἐν οἷς ἅπασι πολλὰς συμβαίνει εἰς κενὸν γίνεσθαι τὰς ἐξερευνήσεις. Ὁυμὴν ἄλλα ἐν ἐπιμηκεςέρῳ συγγράμματι, ἐκ ἂν γένοιτο ῥᾳδίως, μὴ καὶ τοιόνδε τι εὑρεθῆναι, ἐξ ἐ ἄν τις, τῇ παραθέσει πρὸς ἀλλήλες διαφόρων



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόπων τὸ εἰς ἀνάπτυξιν συντελῦν πορίσαιτο τῆς τῶν χαρακτήρων σημασίας. Πολλάκις δὲ ἢ τὸ τυχὸν ἤρκεσεν, εἰς τὴν ὅλην τῦ μυστηρίυ ἀνακάλυψιν.

§ 1055. Ἐν τῷ τρίτῳ τόμῳ τῶν ποιημάτων τῦ Ὀυαλλισίυ, προβάλλεταί τινα τοιῶνδε γραφῶν παραδείγματα, ὧν καὶ αἱ διασαφήσεις προσεπάγονται. Ἀλλ᾽ αἱ τῶν ἐπιλύσεων μέθοδοι ὐκ εἰσὶν ἐκτιθέμεναι, ἃς παραδῦναι μόλις δυνατὸν, ἐπειδὰν τῶν δυσχερεστέρων ᾖ τὰ προκείμενα γράμματα.

§ 1056. Ἡ τέχνη αὕτη ἔχοι ἄν τινα ἰδιάζυσαν τὴν χρῆσιν ἐπεὶ ταύτης ἡ πρᾶξις ἐπὶ τὸ αὐτὸ ἄγει τέλος, ὗ νύξιν ἀνωτέρω (871) παρέχον, ἢ ὅπερ ἕνεκα τὴν τῶν Ἀλγεβραϊκῶν μελέτην συντελεστάτην εἶναι ἐφάμην (874). ταύτης δὲ καθ᾽ ἡμᾶς μόνη ἡ χρῆσις ἂν εἴη, ἐπὶ διαφερόντων τῦ γράφειν τρόπων, ἐφ᾽ ὧν ἀδύνατον ἀνθρώποις εἶναι τὴν διασάφησιν, φασὶν, παρὰ τοῖς τὴν καλυμένην κλεῖδα, μὴ ἔχυσι.

## ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

## Περὶ Μεθόδυ Συνθετικῆς.

§ 1057. Ἡ Συνθετικὴ Μέθοδος ὑπυργεῖ, ὁσάκις ἐπιχειρῦμεν ἐκτιθέναι τοῖς ἄλλοις ἃ κατὰ νῦν φέρομεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1058. Κοινῇ δῆλον, μεθ' ὅσης διαφορᾶς, αἱ τῦ αὐτῦ πράγματος ἐκθέσεις, ποικιλοτρόπως γινόμεναι, τὲς τε ἀκροωμένες καὶ τὲς ἀναγινώσκοντας διατιθέναι πεφύκασι· τὴν μὲν γὰρ εὐκρινῶς κατανοῦσι, τὴν δὲ ὐδὲ τὴν ἀρχὴν συνίασι, καίτοι τοῖς αὐτοῖς ὀνόμασι τῶν πραγμάτων ἐπισημαινομένων, καὶ μηδὲν περιττὸν ἐπὶ ταύτης φέρε λεγόμενον, ὃ κἂν ἐκείνῃ μὴ λέγοιτο. Τὴν διαφορὰν ταύτην ἐκ μόνης τῆς μεθόδε ζητεῖν λείπεται.

## Κανὼν Α'.

§ 1059. „Τὰ ὀνόματα, ἐν οἷς, κἂν ἡ „τυχῦσα ἀσάφεια ἐπικάθηται, πρὸ παντὸς „ἄλλε ἀναπτύσσειν χρεών.

§ 1060. Μάτην γάρ τις διασαφεῖν ἀγωνίζεται τοῖς ἄλλοις, τοῖς μὴ συνιεῖσι τὰς φωνὰς, δι' ὧν ἐκτίθεται τὰ ἀναπτυσσόμενα.

§ 1061. Τί ἐςὶν ὁρισμὸς ἀνωτέρω (329) ὑπεθέμεθα. Ἀλλ' ὁ μὲν ἐςὶν ὁρισμὸς τῦ ὀνόματος, ὁ δὲ τῦ πράγματος· τίνι δὲ λόγῳ ὁ πρῶτος κατὰ τὸ δοκῦν ἐςὶ, καὶ τῦτο ἐθέμεθα (530).

§ 1062. Ἑκατέρε δὲ τῶν ὁρισμῶν ἔργον, ὁ τῆς ἰδέας διορισμός. εἴτε αὕτη ἰδέα τις ὖσα τυγχάνει, ἣν αὐτοὶ ἰδιαζύσῃ τινὶ φωνῇ ἐκδηλῦν πρϋθέμεθα, ὡς ἐν τῷ ὁρισμῷ τῦ ὀνόματος, εἴτε καὶ ὁ λόγος εἴη περὶ ἰδέας πράγματός τινος διωρισμένε, ὡς ἀπαιτεῖται ἐπὶ τῦ ὁρισμῦ τῦ πραγματιώδες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1063. Ἡ ἰδέα αὕτη οὕτω διοριστέα ἐστὶν, ὡς ἀπάσης οὖν ἄλλης ἀντιδιαστέλλεσθαι. οὕτως γὰρ ὁ τοῦ ὁρισμοῦ τυγχάνει σκοπὸς, καὶ παρὰ τοῦτο οὐδὲν ἕτερον δέον ἐν τῷ ὁρισμῷ περιέχεσθαι, ἵνα μὴ εἰς σύγχυσιν περιπέσοιμεν.

§ 1064. Φυλακτέον δὲ, ἀπὸ τῶν ἀσαφῶν ὀνομάτων ἐν τοῖς ὁρισμοῖς. ὡς εἴγε ταῦτα ἄφυκτα, προτακτέον καὶ τῶν ὀνομάτων τούτων τοὺς ὁρισμούς.

§ 1065. Οἱ ὁρισμοὶ τὰς ἁπλᾶς τῶν ἰδεῶν οὐκ ἀφορῶσι ( 327 ). τὰ γὰρ τῶν ἁπλῶν ἰδεῶν οὐ δύνανται ἀναπτύσσεσθαι, τοῖς αὐτὰς ἄλλοθεν μὴ εἰληφόσι.

§ 1066. Αἱ τῶν ὀνομάτων ἐξηγήσεις μάλιστα ἀναγκαῖαι εἰσὶν, ἔνθα περὶ τῶν πραγμάτων, ἢ τῶν ὀνομάτων, τῶν συνήθων μὲν ὁ λόγος, ἀλλ᾽ ὧν αἱ ἔννοιαι οὐκ ἀποχρώντως εἰσὶ διωρισμέναι· καίτοι ἐπὶ τῶν τοιούτων τὰ πολλὰ οἱ ὁρισμοὶ παραμελοῦνται. τὸ ὂν, τὸ μηδὲν, ἡ τελειότης, ἡ θέλησις, ἡ ἐλευθερία, ἡ ἀδρανία, κτλ. οὐ παρὰ πάντων κατὰ τὸν αὐτὸν λόγον εἰσὶ νοούμενα.

§ 1067. Τοῦ ὁρισμοῦ ἤδη προτεθέντος, οὐκέτι κατ᾽ ἄλλον νοῦν ἐκδεκτέον τὸ ὁρισθὲν ὄνομα· μηδαμοῦ τε τὴν ἐκδοχὴν ἀμειπτέον, ἡνίκα ὁ ὁρισμὸς τοῦ ὁριστοῦ ἀντικαθίσαται.

§ 1068. Οὐκ ἔστιν ἐπάναγκες τοὺς ὁρισμοὺς ἀπαξάπαντας πρὸ τῶν ἄλλων ἁπάντων προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τάττειν ἄλις ἔχει, εἰ μόνον τὰ ὀνόματα πρὸ τῆς χρήσεως ἑρμηνεύοιτο· παρατηρητέον δὲ μηδέποτε διὰ τȣ͂ ὁρισμȣ͂ τὴν συλλογιςικὴν ἔφοδον διακόπτειν.

§ 1069. Τῶν φωνῶν δὲ διερμηνευθεισῶν παρατηρεῖν δέον, μηδένα συλλογισμὸν δίδοσθαι ἔχειν, ἐν ᾧ μὴ δύο τȣ̓λάχιςον θεωροῖντο προτάσεις (697), τοιαῦται δήπȣ, ὡς ἐκ τῆς τȣ́των ἀληθείας, ϗ τὸν συλλογισμὸν τὸ ἀληθεύειν ἀρύεσθαι (708).

§ 1070. Καὶ φανερὸν ἄρα ὡς ȣ̓δὲν ȣ̓δένα πεῖσαι ἐςὶν, ᾧ μὴ πρότερον ἡ τινῶν προτάσεων ἀλήθεια κατάδηλος γένοιτο. Ἀλλ᾽ ἵνα γὰρ περὶ ταύτας μηδεμία λείποιτο δυσχέρεια, ἐκλεκτέαι εἰσὶ προτάσεις, ἐν αἷς ἂν ἡ παράθεσις τȣ͂ ὑποκειμένȣ μετὰ τȣ͂ κατηγορȣμένȣ ἀμέσως γίγνοιτο. Οὐδεὶς γὰρ ἐπὶ τῶν τοιȣ́των, ὃς ἂν τὰ ὀνόματα συνιέναι ἔχοι, ȣ̓δ᾽ ἐν ἀκαρεῖ γȣ͂ν τȣ͂ χρόνȣ ὑπενδοιάσαι δυνήσεται (400. 460).

§ 1071. Ἡ τοιάδε πρότασις καλεῖται **ἀξίωμα.** οἷον **τὸ μέρος τȣ͂ ὅλȣ ἔλαττον ἐςί.**

## Κανὼν Β΄.

§ 1072. „Μετὰ τȣ̀ς ὁρισμȣ̀ς, τὰ ἀξιώματα, ἐξ ὧν τȣ̀ς συλλογισμȣ̀ς ἐπακτέον, σαφῶς „δεῖ ὑποτιθέναι.

§ 1073. Εἰσί τινες προτάσεις ἀξιώματα μὲν μηδαμῶς ȣ̓͂σαι, ὡς ἀξιώματα δὲ λαμβα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

νόμεναι. τοῦτο δὲ πολλάκις συμβαίνειν ἐπάναγκες. Καλεῖν δὲ ταύτας ἔχομεν **ἀξιώματα κατά τινα λόγον**, οὐ γὰρ καθ' ἑαυτὰ δῆλα ἐςὶν, ἀλλ' οἷς τοὺς συλλογισμοὺς προτείνομεν πληρέςατα δῆλα καὶ γνώριμα, ὥςε εἶναι ἂν τοῖς ἀποδεικνύειν ἐπιχειρεῖν ἀλυσιτελὲς καὶ φροῦδον.

§ 1074. Οὐχὶ πάντα διὰ τῶν πρώτων ἀείποτε ἀρχῶν ἐπάγεσθαι δύναται. τινὲς τῶν ἐπιςημῶν, ἐπιςήμαις ἄλλαις ὡς θεμελίοις κρηπήζονται, καὶ ταύτας δὴ τὰς θεμελιώδεις, δήλας εἶναι, τοῖς ἐκείναις τὸν νοῦν ἐπιβαλλομένοις ὑποτιθέμεθα.

§ 1075. Οὐδὲν δὲ διαφέρει, πότερον ὁ συλλογισμὸς ἐκ τῶν ἀπολύτων ἐπιφέρεται ἀξιωμάτων, ὧν ἀμέλειτοι ἡ ἀλήθεια ἀμέσως κατάδηλος; ἢ ἐκ τῶν σχετικῶν· ἐπ' ἀμφοῖν γὰρ τῶν ὑποθέσεων, εἰ ὀρθῶς τὰ τοῦ συλλογισμοῦ ἐπιφέρεται, οὐδεμία περὶ τὸ συμπέρασμα ἀμφισβήτησις ὑπολείπεται (108).

§ 1076. Εἰ ἅπερ ἀναπτύξαι ἡμῖν πρόκειται, πρᾶξίν τινὰ ἀφορᾷ, δεῖ τὸν, ὃν διδάσκειν ἐπιχειροῦμεν δύνασθαί τι καὶ ποιεῖν. τίς γράφειν ἐκπαιδεύσει τὸν τοὺς δακτύλους κάμψαι μηδαμῶς δυνάμενον;

§ 1077. Τὸ γὰρ τὴν πρᾶξιν ἐκδιδάσκειν, οὐδὲν ἕτερον ἐςὶν, ἢ τὸν τρόπον ὑποτιθέναι, καθ' ὃν αἱ ἐνέργειαι διευθύνονται. ἀλλὰ τὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διευθυνθησομένας ἐνεργείας, διωρισμένας πρότερον εἶναι δεῖ."

§ 1078. Ὁ Διορισμὸς οὗτος καλεῖται *αἴτημα*. ἐπιχειρῶν τινα πολλαπλασιάζειν ἐκπαιδεῦσαι, αἰτοῦμαι τὸ τοὺς ἀριθμοὺς τοὺς ὑφ᾽ ἑνὶ μόνῳ χαρακτῆρι δηλουμένους, πολλαπλασιάζειν αὐτὸν δύνασθαι· τουτέστι, τὸ τὰ ἐξ αὐτῶν καὶ δι᾽ αὐτῶν παραγόμενα κατὰ μνήμην προχείρως φέρειν. καὶ τὸν τῆς Γεωμετρίας παρ᾽ ἐμοῦ ἀκροασόμενον, αἰτοῦμαι, γραμμάς τε δύνασθαι αὐτὸν ἄγειν, καὶ κύκλους καταγράφειν.

## Κανὼν Γ.

§ 1079. „Ἐφ᾽ ὧν τις πρόκειται πρᾶξις, „τὰ αἰτήματα μετάγε τὰ ἀξιώματα ἐστὶ „τακτέα.

§ 1080. Τόνδε τὸν κανόνα μετὰ τοῦ πρὸ τοῦδε οὕτως ἐστὶ νοητέον, ὡς μὴ ἀεὶ τὰ ἀξιώματα καὶ τὰ αἰτήματα πρὸ πάντων δεῖν τῶν συλλογισμῶν προεκτιθέναι· ἄλις γὰρ ἔχει, οἷάπου περὶ τῶν ὁρισμῶν προπαρῄνηται, εἰ ταῦτα κατ᾽ αὐτὴν τὴν τῶν συλλογισμῶν σειρὰν ἐκτιθοῖτο, ὅπῃ ἂν παρείκοι, πρόγε τῆς αὐτῶν χρήσεως, ἀλλ᾽ οὕτως ὥστε τὰς συλλογιστικὰς ἐφόδους μὴ διακόπτεσθαι.

§ 1081. Τοῖς Ὁρισμοῖς, καὶ Ἀξιώμασι, καὶ Αἰτήμασιν ὑποθέσεις ἐνίοτε τινες προστίθενται. τοῦτο δὲ γίνεται ὁπηνίκα ἀναπτύξαι ἐπιχειροῦμεν, τὸ ἐξ ἰδιαζουσῶν τινῶν κειμένων περιστάσεων ἐφεπόμενον. τηνικαῦτα δὲ ὁ συλλογισ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὸς ὑποθετικός ἐςὶ, καὶ τὰς περιςάσεις δέοι προεκτιθέναι.

Τούτων οὕτω προδεδιητημένων, χωρητέον ἐπὶ τὴν τοῦ προκειμένου διάληψιν, ὃ κατὰ μέρει γίνεσθαι δεῖ.

Περὶ δὲ τὴν τοῦ ὑποκειμένου διαίρεσιν πρὸ παντὸς ἄλλου, τόνδε τὸν κανόνα παρατηρητέον:

## Κανὼν Δ΄.

§ 1082. „Τοῦ προτεθέντος ὑποκειμένου ἡ „διαίρεσις, οὕτω διαιτητέα ἐςὶν, ὡς τὰ μέρει „χωρὶς ἕκαςον ἔχειν διαλαμβάνεσθαι.

§ 1083. Τοῦθ' οὕτως ἐςὶ νοητέον· ἕντι τῶν μερῶν μεταξὺ δέον εἶναι τοιοῦτον, οἷον ἄνευ τῆς τῶν λοιπῶν διασκέψεως ἔχειν διερμηνεύεσθαι· καὶ τοῦτο ἔςαι τὸ πρῶτον. Ἐκ τῶν λοιπῶν τὸ δεύτερον ὡσαύτως οὕτως ἐςὶν αἱρετέον, ὡς ἄνευ τῶν ἄλλων αὐτὸ ἡμᾶς πραγματεύεσθαι ἔχειν. καὶ οὕτω κἀπὶ τῶν ἑξῆς.

## Κανὼν Ε΄.

§ 1084. „Ἡ Διαίρεσις ἣν ἡ τοῦ ὑποκειμέ„νου ἡμῖν ὑποτίθεισι φύσις, προκριτέα τῶν „ἄλλων, καὶ τὰ κατ' αὐτὴν ἁπλούςερα μέρη, „πρὸ τῶν μᾶλλον συνθέτων ἐκθετέα.

§ 1085. Ὁ Κανὼν οὗτος ὑπάγεται τῷ ἀνωτέρῳ. τουτέςι χώραν ἔχειν μόνον τοῦτον δέον, ἐφ' οἷς πρὸς ἐκεῖνον οὐδαμῶς μάχεται.

§ 1086. Τὰ τῆς Γεωμετρίας ςοιχεῖα διδάσκειν ἐπιχειρήσας, κατὰ τὸν ἔσχατον κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νόνα, τῇδε μὲν διαιτήσαιμην τὴν διαίρεσιν, τῇδε δὲ χρησαίμην τῇ τάξει. Πρῶτον μοι περὶ γραμμῶν ἂν εἴη διαληπτέον· εἶτα περὶ τριγώνων, ϗ τῶν ἄλλων εὐθυγράμμων χημάτων· εἶτα περὶ τȣ͂ κύκλȣ πραγματευσαίμην κτξ. Ἀλλ' ἀτελὴς ἂν εἴη πάνυ τῆς πραγματείας ἡ ἔφοδος· τά γὰρ περὶ τῶν παραλλήλων γραμμῶν, καὶ τὰ περὶ τῶν καθέτων, ἐκ τῶν περὶ τὰ τρίγωνα ἀποδεικνυμένων ἐπιφέρειν δέον κτξ. Ἔνθεντοι ἡ διαίρεσις αὕτη, καίτοι τȣ͂ ὑποκειμένȣ τῇ φύσει δοκȣ͂σα συνᾴδειν, παραιτητέα ἂν εἴη.

§ 1087. Τηρητέαν δὲ ταύτην εἶναι φαμέν, ἕως ȣ͂ τῷ τετάρτῳ κανόνι ὁμολογεῖν δύναται· καὶ εἴμοὶ ἀναπτύξαι παρείη, τὰ τοῖς ὑγροῖς τῶν σωμάτων κατὰ γένος θεωρȣμένοις ἀνήκοντα, διαληπτέον ἂν εἴη πρῶτον, περὶ τῶν ὑγρῶν τῶν ἐν ἠρεμίᾳ, ἔπειτα δὲ, ϗ περὶ τῶν ἐν κινήσει· ἡ γὰρ τȣ͂ ὑποκειμένȣ φύσις, τήνδε τὴν διαίρεσιν, ϗ τήνδε τὴν τάξιν ὑποδείκνυσιν. Ἀλλ' ἀπαντᾷ τις δυχέρεια· ἡ γὰρ ἔνστασις ἣν τὸ διὰ τȣ͂ ὑγρȣ͂ φερόμενον σῶμα πάσχει, θλίψις τις ἐστὶν, ἡ ἐν τῷ ἠρεμȣ͂ντι ὑγρῷ χώραν ἔχȣσα, ϗ περὶ ἧς διελθεῖν ȣ͂κ οἷόν τε, μὴ πρότερον τὰς ἐν τοῖς ὑγροῖς διαφερȣ́σας κινήσεις προαναπτύξαντας. ταῦτα τοι, διάγε ταύτην καὶ μόνην τὴν ἔνστασιν, ἀπὸ τȣ͂ πέμπτȣ κανόνος ἀποχωρητέον, καὶ τῷ τετάρτῳ ἀκολȣθητέον.

§ 1088. Ἔν τισιν ἀμελȣμένȣ τȣ͂ τετάρτȣ, τῷ πέμπτῳ παρέπεσθαι κανόνι χρεών. τȣ͂το δὲ ἔνθα μόνον τὸ ὑποκείμενον τὴν διαίρεσιν ȣ͂κ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιδέχεται τὴν τῷ τετάρτῳ κανόνι συμπίπτȣσαν. Τηνικαῦτα κατ' ἀρχὰς θετέον τινὰ, ἃ ὕςερον μόνον ἀποδειχθῆναι δύναται, ὡς σεσημείωται (581) ἐν οἷς ὁ λόγος ἦν περὶ τῶν θεμελίων τῆς ἠθικῆς σαφηνείας, ἃ ἐπὶ τȣ̃ παρόντος ἔςωσαν ἀντὶ παραδείγματος.

§ 1089. Περὶ δὲ τῆς διαιρέσεως τηρητέον ἔτι, τὰ μέρη, (εἰ τȣ̃το παρ' ἡμῖν κεῖται) ὡς οἷόν τε ἴσα αἱρεῖσθαι· ἄλλως ἢ γὰρ τῇ τȣ́των ἀνισότητι, κἂν ᾖ ἐπίσημος, ȣ̓ προσεκτέον.

§ 1090. Ἐνταῦθα δὲ ἀνάγειν δέον, καὶ ἅπερ ἀνωτέρω περὶ διαιρέσεως (944. 945), ἐν τῷ περὶ τῆς ἀναλύσεως κεφαλαίῳ παρατετήρηται.

§ 1091. Μετὰ τὴν ἐκτεθεῖσαν τȣ̃ ὑποκειμένȣ διαίρεσιν, ἕκαςον τῶν αὐτȣ̃ μερῶν μετιτέον, καταλλήλῳ τάξει τὰς προτάσεις ἐκτιθεμένȣς, καὶ ἀποδεικνῦντας, ὧν ἡ ἀλήθεια, ἤτοι ἀμέσως ȣ̓ καταφαίνεται, ἢ ȣ̓χ ὡς ἤδη προγινωσκομένη προϋποτίθεται.

§ 1092. Ἅπαν συμπέρασμα, ἐκ δυεῖν προκειμένων προτάσεων ἐπιφέρεται, ἐξ ὧν τῆς περιȣ́σης ἀληθείας, ἡ τȣ̃ συμπεράσματος ἀλήθεια ἤρτηται (708).

## Κανὼν ς'.

§ 1093. „Ἐπὶ τῶν συλλογισμῶν τὰ συμ„περάσματα συναπτέα, ἐκ τῶν ὁρισμῶν, καὶ „τῶν ἀξιωμάτων, καὶ τῶν αἰτημάτων, καὶ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ὑποθέσεων, καὶ τῶν προτάσεων τῶν ἤδη προ-
„αποδειχθεισῶν.

§ 1094. Οὐδεμίαν δὲ πρότασιν συγχωρητέον, τὴν μὴ ἔτως ἔχεσαν ἀποδείκνυσθαι, ἐξηρημένε τε ἐν ἀριθ. 1088. εἰρημένε. ἅλις γὰρ ἕξει τότε μὲν συγχωρῆσαι ἀναποδείκτως τὴν πρότασιν, ὕςερον δὲ ταύτην κατασκευάσαι.

§ 1095. Ἀφεκτέον δὲ, ϗ, εἴτις παρελήφθη ὑπόθεσις, τε μὴ τὸ ὑποθετικῶς μόνον ἀληθεῦον συμπέρασμα, ὡς ἁπλῶς τε ϗ ἀπολύτως ἀληθὲς κατέχειν.

## Κανὼν Ζ΄.

§ 1096. „Ἅπασαι ἀποβλητέαι αἱ προ-
„τάσεις, αἱ τῷ ὑποκειμένῳ, περὶ ἕ ὁ λόγος,
„μηδὲν προσήκεσαι, μηδὲ εἰς δεῖξιν τῶν ἀνη-
„κεσῶν τῷ ὑποκειμένῳ τι συμβαλλόμεναι, μηδὲ
„εἰς σαφήνειαν.

Ἐκ πείρας καταφανὲς, ὅτι οἱ τόνδε τὸν κανόνα ἀθετἔντες, ἐδέποτε τὴν σύγχυσιν ἐκφεύγεσι.

## Κανὼν Η΄.

§ 1097. „Αἱ πρὸς τὴν τῶν ἄλλων ὑπερ-
„γἔσαι ἀπόδειξιν, προτάσεις, ἐκείνων ϗ προ-
„τακτέαι.

## Κανὼν Θ΄.

§ 1098. „Αἱ ἁπλαῖ προηγητέαι τῶν συν-
„θέτων, καὶ αἱ κατὰ γένος τῶν μερικῶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗτοι οἱ κανόνες πολλάκις ἅμα τηρεῖσθαι ἐ δύνανται· ἐπειδὴ τὰ πολλὰ συμβαίνει, τὴν ἁπλῆν πρότασιν ἐκ τῆς συνθέτε μόνον πεφυκέναι ἐπάγεσθαι, καὶ τὴν ἐν γένει, μὴ προαποδειχθείσης τῆς κατ᾽ αὐτὴν μερικωτέρας ὑποθέσεως, μὴ ἔχειν ἀναπτύσσεσθαι· ἐπὶ γὲν τῶν ὅτω συμβαινόντων, ἀμελεμένε τε ἐχάτε κανόνος, τῷ πρὸ τέτε δέον ἀκολεθεῖν.

§ 1100. Πολλὰ ἔχομεν παρ᾽ Εὐκλείδῃ παραδείγματα, ἐν οἷς αὐτε τινὲς τάξεως παράβασιν κατηγόρησαν, μὴ καλῶς προσεχηκότες δηλαδὴ τῇ τῶν κανόνων ὑπαλληλίᾳ, ἣν τηρητέον ἐπὶ τῆς τάξεως.

## Κανὼν Ι΄.

§ 1101. „Μεθ᾽ ἑκάστην τῶν προτάσεων, πρῶ„τον ἀποδεικτέαι αἱ ἐξ αὐτῶν ἑκάστης ἑπό„μεναι· εἶτα αἱ πρὸς αὐτὰς ἀναφορὰν ἔχεσαι· „ὅτω δὲ, ὡς ἀεὶ προηγεῖσθαι ὧν ἡ ἀναφορὰ „στενωτέρα.

§ 1102. Τἕδε τε κανόνος τὸ μέρος τὸ δεύτερον ὅτω νοητέον, ὥστε χώραν ἔχειν μόνον ἐφ᾽ ὧν ταῖς ἀμέσως δυσὶ προτέραις ἐκ ἀπομάχεται· εὐλόγως γὰρ Εὐκλείδης διέστησε τὴν ιϛ. καὶ λβ. τε πρώτε τῶν στοιχείων, καίτοι λόγος ἐφ᾽ ἑκατέρας, περὶ τῆς ἐκτὸς γωνίας τε τριγώνε.

§ 1103. Οὐ πολλή τις ἀπαντᾷ ἡ δυσχέρεια ἐπὶ τῇ φυλακῇ τῶνδε τῶν κανόνων. Κατ᾽ ἀρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χὰς μέντοι, ἕως καλῶς ἐθιθῶμεν, συντελέσει ἡμῖν εἰς πρᾶξιν τὰ ἐφεξῆς ἐπιβοηθήματα.

§ 1104. Σημειωτέον ἡμῖν, καὶ καλῶς διοριστέον ἐκεῖνο, ὅπερ ἀναπτύξαι ἐπιχειροῦμεν, διά τινος καταλόγου, ἐν ᾧ ἂν ἅπασαι περιέχοιντο αἱ ἀποδεικτέαι προτάσεις, συντόμως ἐκδηλούμεναι· ἢ μᾶλλον, ἁπλῶς ἐπισημειούμεναι.

§ 1105. Εἶτα ζητεῖν ὀφείλομεν τοὺς λόγους ἅπαντας, δι' ὧν τόγε ἡμῖν δοκοῦν, ῥᾷστα πάντων, καὶ συντομώτατα, αἱ τοιαίδε ἂν ἀποδειχθεῖεν προτάσεις· ταυτὶ δὲ τὰ ἐπιχειρήματα, ἤτοι οἱ λόγοι, καινάς τινας περιέχουσι προτάσεις, ἃς ταῖς ἐπὶ τοῦ καταλόγου προτέραις προστιθέναι δεῖ.

§ 1106. Εἶτα δὲ καὶ τὰς ἀρχάς, δι' ὧν αἱ καιναὶ αἵδε προτάσεις, εἴτε ἀμέσως, εἴτε διὰ τῆς προόδου τῶν ἐπὶ τοῦ καταλόγου προτάσεων ἐπιφέρονται, προσσημειωτέον.

§ 1107. Τελευταῖον καὶ τὰ ἀσάφειαν ἔχοντα τῶν ὀνομάτων, παρασημειωτέα· ὥσπερ δὴ καὶ τὰ αἰτήματα, καὶ τὰς ὑποθέσεις, εἰ καὶ περὶ ὑποθέσεων ὁ λόγος (1079. 1081).

§ 1108 Πάντα τὰ οὕτως ἤδη προσημειωθέντα, διὰ τῶν ἐκτεθέντων κανόνων, εἰς τάξιν ἀκτέον, οὕτω δέτοι, ὥστε περὶ ἑκάστου, τὸν λόγον συνειδέναι, ἀνθ' ὅτουγε ὧδε μᾶλλον, ἢ ὧδε, τόδε ἢ τόδε ἀναφέρομεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1109. Τῶν πάντων ὅτω διατεθέντων, ἀναπτυκτέον τὰ ἁπλᾶς σεσημειωμένα, ὅπερ ἤτοι συνεχεῖ λόγῳ, ἢ ὡς ἔθος τοῖς μαθηματικοῖς, ἐκ διαλειμμάτων ποιητέον.

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

## Περὶ Μεθόδου τοῦ Μανθάνειν.

§ 1110. Μὴ οἴοντε εἶναι ἀνθρώπους δύο, τοὺς ἀκριβῶς τὰς αὐτὰς ἔχοντας ἰδέας δίδοσθαι, ἀναμφισβήτητον ἐστίν. Εἴπερ γάρ, περὶ πάντων ἂν ἐπίσης τε καὶ συμφώνως ἐφρόνουν· οὐδεὶς δὲ, ἐν αἷς αὐτὸς ἔχει ἰδέαις, ἐκείναις διορίσαι δύναται, ὧν ἄλλος τις ἀμοιρεῖ.

§ 1111. Περὶ τούτων ἀλλ' οὖν κρίνειν ὀφείλει, ὅς τις ἀναπτύξαι τι τοῖς ἄλλοις ἐπιχειρεῖ, οὐ γὰρ ἔχει πασῶν οὗτος τῶν ἰδεῶν διαμνημονεῦσαι, αἷς προσέχει ὑπὲρ ἀριθμὸν εἰσὶν, ἃς κοινάς τινας οὔσας καὶ πεπατημένας ὑποτίθησι καὶ τοῖς ἄλλοις προσπίπτειν, ἀφορμῆς διδομένης· ἀλλ' ἐν τούτῳ τις ἀπάτη ἐμφιλοχωρήσειε. τὰ πολλὰ γὰρ καὶ τοῖς λοιποῖς οὐκ ἀγνοούμενα εἶναι πείθονται, ἅπερ αὐτοὶ καθ' ἑκάστην κατὰ νοῦν φέρουσι.

§ 1112. Διὰ δὴ τοῦτο, τὰ ὑπὸ τῶν ἄλλων ὑποτιθέμενα, καί περ εὐκρινῶς καὶ διακεκριμένως, οὐκ ἀεὶ κατὰ τὸν αὐτὸν νοῦν ἐκλαμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βάνονται παρὰ τῶν αὐτὰ διερμηνευόντων. Διὰ τȣ̃το ȣ̓κ ἀεὶ ἢτοι ἅπασαν τὴν δύναμιν τῶν λόγων συνίασι. τὶς δ᾽ ὁριεῖ, ὅπȣ κεῖται ἡ ἔλλειψις;

§ 1113. Διὰ τȣ̃το τὴν τȣ̃ πράγματος γνῶσιν πολλάκις θηρώμεθα, μόνον μετὰ τὸ ἐπαναλαβεῖν πλεονάκις τὴν ἔρευναν, ᾗ μετὰ τὸ παραθέσθαι τὰς ὑπολήψεις διαφόρων συγγραφέων τῶν περὶ τȣ̃ αὐτȣ̃, ἤτοι συμφωνȣ́ντων, ἢ διαφωνȣ́ντων. Πάντες γὰρ ἐν τῷ μέρει ἰδεῶν τινων ὀλιγωρȣ̃σιν, ἃς ἤδη γνωρίμȣς ὑποτιθέασιν, ἀλλ᾽ ȣ̓ τῶν αὐτῶν οἱ πάντες· ȣ̃ χάριν διὰ τῆς παραθέσεως, ἁπάσας ποριζόμεθα τὰς ἰδέας, αἳ πρὸς ἐντελῆ τȣ̃ ὑποκειμένȣ κατανόησιν ἀναγκαῖαι εἰσίν.

§ 1114. Οὐ μὴν ἄλλως ἂν ἔχοι, τὰ ὑπὸ τῶν ἄλλων ἡμῖν ἀναπτυσσόμενα συνιέναι· δεῖ ᾗ τȣ̀ς προβαλλομένȣς λόγȣς διὰ μελέτης σφίσιν, ὡς ἰδίȣς ἀποκαθιστᾷν, ȣ̃τως ὥστε τὰς ἃς ποριζόμεθα γνώσεις, ταῖς ἀλλοθέν ποθεν ἡμῖν γινωσκομέναις, εἰς ἓν συνέρχεσθαι.

§ 1115. Προβάλλεταί μοι τις πρότασις· ταύτης οἱ λόγοι ἰσχυρότεροι εἶναι δοκȣ̃σι. ταύτην ἀποδέχομαι. Ἀλλ᾽ ȣ̓κ ἐννοῶ, ἀντιμαχομένην αὐτὴν εἶναι, τῇ ἥν περ ὡς ἀληθῆ ἤδη προέχον. Ἀλλὰ γὰρ τὴν πρόσφατον προσέσθαι ȣ̓ δύναμαι, εἰ μὴ τὴν πάλαι δόξαν, μετὰ πασῶν τῶν αὐτῇ συναδȣσῶν, αὖθις ἀνεξετάσω. ὕπεστι τις ἀπάτη· πόθεν δὲ, καὶ ἐν τίνι; τȣ̃το δήπȣ διοριστέον· ἢ γȣ̃ν ἀμφισβητητέον (666).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ τούτοις τὸν νοῦν προσεῖχον οἱ ἄνθρωποι, οὐκ ἂν τοσαύταις ἐνεδίδουν ὑπολήψεσι μαχομέναις τε καὶ ἀντιπιπτούσαις.

§ 1116. Πολλοὶ τῇ μνήμῃ μόνον ἐγκολάπτουσιν, ἅπερ ἀκούουσιν, ἅτε ἀναγινώσκουσιν· ἐπιχειρήμασι δὲ πολλάκις χρῶνται, ὧν τὸ ἀσθενὲς ἐν ἄλλαις ὑποθέσεσιν ἐπιγιγνώσκουσιν, ὅτε τοὺς παραπλησιωτάτους μὲν τῶν λόγων, ἐν ἄλλῃ δέ τινι ὑποθέσει ἐνηρμοσμένους, ἀποβάλλουσι.

Ἀλλ' οἱ ἐφεξῆς κανόνες, οἷοί τε συντελεῖν εἰσὶ, παντὶ τῷ γνῶσιν ἑαυτῷ τῶν ὄντων ἀληθῆ πορίσασθαι σπεύδοντι.

## Κανὼν Α΄.

§ 1117. „Ἐπειδὰν πρῶτον ἐπιστήμῃ τινὶ „τὸν Νοῦν ἀφοσιοῦμεν, πρὸς πορισμὸν τῶν ἰδεῶν „ἐπιπόνως σπουδάσαι ὀφείλομεν, ὅσαι αὐτῇ ἀνή-„κουσαι εἰσί. ἢ διατάσσειν δὲ αὐτὰς, ὡς ἂν „ἄμεινον ἔχοι, ὥστε γενικήν τινα καρποῦσθαι „ἰδέαν τοῦ ὁλοσχεροῦς συστήματος.

§ 1118. Αὕτη δὴ ἡ πρώτη γνῶσις τῇ μνήμῃ κυρίως ἐστὶν ἀνήκουσα. Οὔπω γὰρ περὶ τῆς τῶν συλλογισμῶν στερρότητος ὁ λόγος. Δι' ἀναγνώσεως τὴν τοιάνδε γνῶσιν προσκτώμεθα, ἢ δι' ἀκροάσεως τῶν διδασκόντων. καίτοι δὲ ἡ γνῶσις ἥδε μόνον ἱστορική ἐστιν, δεῖ γεμὴν μετὰ σπουδῆς ἐπείγεσθαι, τὸν νοῦν τοῦ ἀναπτύσσοντος ἡμῖν τὴν ἐπιστήμην θηρᾶσθαι. Οὐδὲ γὰρ ἀληθῆ ἄλλως ἐπιστήμην λαβεῖν ἂν ἐλπίσαιμεν, μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν κατὰ γένος ταύτην τȣ͂ συςήματος ἐπίγνωσιν τῇ τȣ͂ μνημονικȣ͂ δυνάμει πρότερον ἀνατυπωσάμενοι. Τῷ μέλλοντι οἰκοδομεῖν, πρὸ παντὸς τὴν ὕλην παρασκευαςέον ἐςίν.

## Κανὼν Β΄.

§ 1119. „Μετὰ τὴν πρῶτον σημειωθεῖσαν, „καὶ δευτέραν ἄλλην τῆς ἐπιςήμης ποιητέον „ἀνάκρισιν, ἐν ᾗ τȣ͂ςτε θεμελίȣς αὐτῆς δοκι„μαςέον, καὶ τὸ κράτος τῶν λόγων διαςαθ„μητέον. ζητητέον δὲ ἄλλοθεν, καὶ ἅττα τȣ͂„τοις ἂν ἔχοι ἀντιπροτείνεσθαι, καὶ ὅθεν αὐ„τοῖς μείζων ἰσχὺς προςεθείη. Οὐδὲν τε ἐπὶ „τῆς δευτέρας ταύτης ἐρεύνης, συγχωρητέον „ἐπιχείρημα, ȣ͂ μὴ κατ' ἐνάργειαν κατανοοῖτο „ἡ δύναμις.

§ 1120. Ὁ ταῦτα παραφυλαττόμενος, ȣ̓δένα ȣ̓δέποτε λόγον ἐπὶ μιᾶς προσήσεται ὑποθέσεως, ὃν ἂν ἐπί τινος ἄλλης ἀπώσαιτο.

## Κανὼν Γ΄.

§ 1121. „Προαφορισάμενος δέ τις ἀσφαλεῖς „τὰς ἰδέας ἐπὶ τῇ προκειμένῃ ἐπιςήμῃ, καὶ „ἐπὶ τὰς σχέσεις τὰς τȣ́των, καὶ τὰς τῶν προ„τάσεων ἀλληλȣχίας, ἰδιαζόντως προσέχειν „ὀφείλει, ὡς ἂν εὐτάκτως ἅπαντα διατάτ„τοι, καὶ οἷον ἴδιον ἑαυτῷ ποιήσειε τὸ τῆς „ἐπιςήμης σύςημα.

§ 1122. Ἐπὶ τῇ τοιᾷδε διατάξει, οἱ ἐπὶ τȣ͂ ἀνωτέρω κεφαλαίȣ ἀναπτυχθέντες κανόνες, ὡς λίαν συντελέσȣσι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1123. Ὁ τᾷδε τῷ τρίτῳ κανόνι ἑπόμενος, ῥᾷστα διορίσει, τὶ μὲν βέβαιον, τίδ' ἀβέβαιον ἐν τῇ ἐπιστήμῃ δίδοται, τό,τε ἐναργὲς εὐμαρῶς ἀπὸ τῦ ἀσαφῦς διαστήσει.

§ 1124. Ὁ ὕτως ἐπιμελῶς τὸν νῦν τῇ κατ' ἐπιστήμην γνώσει ἀφοσιέμενος, τὰς τῶν διαφερυσῶν ἐπιστημῶν σχέσεις ῥᾳδίως συνήσει, καὶ ὅσα οἶδεν, ἀλλήλοις τῷ τοιύτῳ συνήρτηται.

## Κανὼν Δ'.

§ 1125. „Καινὰς δὲ ἔπειτα ἐν ταύτῃ τῇ „ἐπιστήμῃ ἰδέας προσπορίζόμενος, ἀνοίσει ταύ„τας, πρὸς ἃς σχέσιν ἔχυσι.

Οὐδὲ γὰρ ἀπόχρη τὸ καινὰς ἰδέας προσκτήσασθαι, τῇ ἐπιστήμῃ προσανηκύσας, ἥνπερ θηρώμεθα. δεῖ δὲ φυλάττεσθαι καὶ τὴν ἀναφυομένην ἐντεῦθεν τῶν ἰδεῶν σύγχυσιν, τὴν ἐν τῇ τύτων συναφείᾳ μετὰ τῶν ὧν πρότερον ἔχομεν.

§ 1126. Ἐπὶ τὸ σύστημα, ὃ κατὰ νῦν φέρομεν, τὰς καινὰς τῶν ἰδεῶν ἀνάγοντας, τὸν ἑκάστῃ ἴδιον τόπον ἀπονέμειν χρή. Ποιητέον δὲ τῦτο μετὰ ἀτενῦς τῆς προσοχῆς, δι' ἧς καὶ ἄλλα πολλάκις καινὰ συμβαίνει ἀνακαλύπτεσθαι.

## Κανὼν Ε'.

§ 1127. „Ἑτοίμως ἕκαστον ἔχειν χρεὼν τὴν „ψυχὴν, πρὸς τὴν οἰασῦν ἐξαπάτης ἐπανόρ„θωσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1128. Ὅσῳ ἂν ἐπιμελῶς προσέχοι τις τὴν ψυχὴν ἐπὶ τῇ τῶν πραγμάτων ἐρεύνῃ, ὁλοσχεροῦς ἐπιστήμης προκειμένης, μόλις οἷόντε, τῇ δικαίᾳ προσοχῇ ἅπαντα διασταθμήσασθαι, καὶ τὸ πᾶσαν πάντῃ ἀπάτην διαφυγεῖν, κρεῖττον ἢ κατὰ ἄνθρωπον.

§ 1129. Συνεχὴς ἄρα καὶ ἀδιάλειπτος ἡ προσοχὴ ἐναπαιτεῖται, καὶ τῶν εἰς περιτροπὴν τῶν ἡμετέρων δοξασμάτων, ἢ κατασκευὴν τῶν ἐναντίων λεγομένων, τὴν ἔρευναν, οὐδέποτε παραιτεῖσθαι δέον.

§ 1130. Οὐδέποτε τὴν ἀντιφερομένην διασταθμώμενοι δόξαν, πρότασίν τινα ἀποσυμβαλίζειν δεῖ, δι' οὐδὲν ἄλλο, ἢ ὅτι τῷ καθ' ἡμᾶς οὐχ ὁμολογεῖ συστήματι. Ἐρευνητέον δὲ τοὺς θεμελίους τοῦ ἐναντίου συστήματος, ὧν ἰσχυρῶν ὄντων, καὶ τὸ ἀσθενὲς τοῦ ἡμετέρου συστήματος ἀποδεικνύντων, αὐτὸ τοῦτο παραιτητέον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΠΑΡΑΡΓΗΜΑ
## ΠΕΡΙ ΤΗΣ ΤΕΧΝΗΣ ΤΟΥ ΣΥΛΛΟΓΙΖΕΣΘΑΙ.

### ΚΕΦΑΛΑΙΟΝ Α΄.

### Γενικά τινα περὶ τοῦ συλλογισμοῦ καὶ τῶν ἐν αὐτῷ προτάσεών τε καὶ ὅρων.

§ 1151. Ἐπὶ τοῦ Κ΄. κεφαλαίου τῆς Λογικῆς, διειλήφαμεν περὶ τοῦ Συλλογισμοῦ· εἴδομεν δὲ τὸν συλλογισμὸν χώραν ἔχειν, ὁσάκις ἰδέαι δύο, δι᾽ ἰδέας μεσιτευούσης παραβάλλονται, ἢ δὴ παραθέσει τὸ ἐπιχείρημα συνίσταθαι ἐλέγομεν.

§ 1152. Ἡνίκα τοῦτο ἁπλούστατα πάντων γίνεται, ὡς ἐν ἀριθμ. 697 ἐκτέθειται, τὸ ἐπιχείρημα **Συλλογισμὸς** καλεῖται, **ἁπλοῦς τε καὶ τέλειος.**

Εἴρηται δὲ, καὶ ἰδιάζουσάν τινα τέχνην εἶναι, τῆς διαμορφώσεως τῶν ἐπιχειρημάτων, καὶ τῆς τοῦ ὅπως ἔχει δυνάμεως αὐτὰ, ἐπικρίσεως. τῆς δὲ τέχνης ταύτης, καὶ σύντομος τις ἡμῖν ἐπήγγελται (711) ἔκθεσις· ἣν ἤδη παρέχομεν.

§ 1153. Διαληπτέον δὲ πρῶτον περὶ τοῦ **Συλλογισμοῦ τοῦ τελείου**· εἶτα καὶ περὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἄλλων εἰδῶν τῆς ἐπιχειρήσεως· ἤτοι περὶ τῶν

## Συλλογισμῶν τῶν ἀτελεστέρων.

§ 1154. Ἐπὶ τοῦ Συλλογισμοῦ τρεῖς εἰσὶν ὅροι· Μείζων, Ἐλάσσων καὶ Μέσος. καὶ ὁ μὲν, καὶ Μεῖζον, λέγεται Ἄκρον, ὁ δὲ ἄκρον, ὁ δὲ ἁπλῶς, τὸ Μέσον.

§ 1155. Ἐν τῷ συλλογισμῷ καὶ τρεῖς αἱ προτάσεις, ἡ μὲν Μείζων, ἥτις καὶ ἁπλῶς πρότασις καλεῖται ἡ δὲ Ἐλάσσων, ἥτις καὶ πρόσληψις λέγεται· καὶ αὗται αἱ δύο, καὶ προκείμενα ἀκούουσιν. Ἡ δὲ τρίτη ἐστὶ τὸ Συμπέρασμα· ὅρα περὶ τούτων ἁπάντων ( 697 — 701 ).

Ἵνα δὲ τὰ ταῖς προτάσεσι τῶν ἐπιχειρημάτων ἀνήκοντα ἀναπτύξωμεν, τοῖς ἐν τῇ Λογικῇ περὶ τῶν προτάσεων προληφθεῖσι, καὶ ἕτερ' ἄττα ἤδη ἡμῖν προσθετέον.

§ 1156. Τῇ ποσότητι καὶ τῇ ποιότητι προσέχοντες τῶν προτάσεων, εἰς τέτταρας αὐτὰς διαιρουμένας κλάσεις κατείδομεν ( 419 ). Ταυτὶ δὲ τὰ τέτταρα εἴδη σημαίνεται διὰ τῶν στοιχείων· Α Ε Ι Ο.

§ 1157. Τὸ μὲν οὖν Α, τὴν καθόλου κατάφασιν δηλοῖ· τὸ δὲ Ε, τὴν καθόλου ἀπόφασιν, τὸ δὲ Ι, τὴν μερικὴν κατάφ. τὸ δὲ Ο, τὴν μερικὴν ἀπόφ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1138. Ἡ καθόλȣ πρότασις τὴν ἐπὶ μέρȣς περιέχει τῆς αὐτῆς Φύσεως. Ἐν ἅπασι τοῖς ἀνθρώποις, καὶ τινὲς περιέχονται. ἡ μὲν Α περιέχει τὴν Ι, ἡ δὲ Ε τὴν Ο.

§ 1139. Ὁ κανὼν ȣ̃τος ταῖς μὲν καταφασκȣ́σαις προσαρμοζόμενος, λέγεται τὸ κατὰ παντὸς λεγόμενον· ταῖς δὲ ἀποφασκȣ́σαις, τὸ κατὰ μηδενός.

§ 1140. Τȣ̃ καθόλȣ, ἢ ἐν μέρει τὸ ὑποκείμενον εἶναι, τὸ καθόλȣ τε καὶ ἐν μέρει τῆς προτάσεως ἠρτῆσθαι, ἐκ τῶν εἰρημένων (414. 415) ἕπεται.

§ 1141. Τῆς ἄρα καθόλȣ τὸ ὑποκείμενον καθόλȣ· καὶ τῆς κατὰ μέρȣς, κατὰ μέρος.

§ 1142. Παρὰ ταῦτα, τῆς καταΦασκȣ́σης τὸ κατηγορȣ́μενον ἐςὶν ἐπὶ μέρȣς· ȣ̓δέποτε γὰρ, ἢ μέρος, ἡ κατάΦασις τȣ̃ κατηγορȣμένȣ ἀΦορᾷ. Πᾶς ἄνθρωπος ζῇ. ȣ̓ περὶ ζωῆς ἁπάσης ὧδε ὁ λόγος.

§ 1143. Τὸ κατηγορȣ́μενον τῆς ἀποΦασκȣ́σης, ἀεὶ καθόλȣ. ἀπὸ γὰρ τȣ̃ κατηγορȣμένȣ, ὅσον ἐγχωρεῖ ἐκτεινομένȣ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ὑποκείμενον ἀφίςαται. τὶς ἄνθρωπος ἐκ ἔςι λευκός. περὶ πάσης ᾧδε ὁ λόγος λευκότητος.
Ἐκ τέτων τὰ ἑξῆς συμπεραίνεται.

§ 1144. Τῶν προτάσεων, τῆς μὲν καθόλε ἀποφασκέσης, μόνης, ἄμφω οἱ ὅροι καθόλε (1141 — 1143).

§ 1145. Τῆς δὲ ἐν μέρει καταφασκέσης μόνης, ἄμφω ἐπὶ μέρες (1141 — 1142).

§ 1146. Τῆς δὲ δὴ καθόλε καταφασκέσης, ἢ τῆς ἐν μέρει ἀποφασκέσης, ὁ μὲν καθόλε, ὁ δὲ μερικός. ἄμφω δ' ἐχὶ (1144. 1145).

§ 1147. Καὶ ἡ μὲν καταφάσκεσα, ἧς ὁ ἕτερος ὅρος καθόλε, καθόλε (1141. 1142).

§ 1148. Ἡ δὲ ἀποφάσκεσα, ἧς ὁ ἕτερος μόνον καθόλε, ἐπὶ μέρες (1141. 1143).
Ἐκ τῶνδε δὴ τῶν προτάσεων τὲς κανόνας ἐπιφέρομεν, δι' ὧν διορίζομεν, εἴπερ τὸ τε συλλογισμε συμπέρασμα ἐκ τῶν προτεθέντων συμβαίνει, καὶ ἐξ ὧν διδασκόμεθα, τί ποτε ἐν τῇ τε συλλογισμε κατασκευῇ παρατηρητέον ἐςί.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

## Περὶ τῶν κανόνων τῶν συλλογισμῶν.

§ 1149. Ἐν τῷ τε συλλογισμε συμπεράσματι, τὸ μεῖζον τῶν ἄκρων, ἐπὶ τὸ ἔλαττον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναφέρεται. ἵνα δὲ τοῦτο γένηται, ἐν μὲν τῇ μείζονι προτάσει, τῷ μείζονι ἄκρῳ τὸ μέσον παρατίθεται, ἐν δὲ τῇ ἐλάσσονι, τῷ ἐλάσσονι (697).

Τῶν δὲ τοιῶνδε παραθέσεων κανόνες οἱ ἐφεξῆς.

§ 1150. „Α΄. Ἐπὶ παντὸς Συλλογισμοῦ „τρεῖς μόνοι οἱ ὅροι εἰσὶν, ὧν ἕκαστος δὶς μό„νον παραλαμβάνεται (715. 1149). ὥστε „ἐπὶ τῶν τριῶν προτάσεων ἓξ ἀριθμεῖσθαι ὅρους.

§ 1151. „Β΄. Τὸ μέσον, οὐδ᾽ ὅλον, οὔτε μέ„ρος εἴσισι τὸ συμπέρασμα.

§ 1152. „Γ΄. Τὸ μέσον ἅπαξ γοῦν καθόλου ληπτέον (714).

§ 1153. „Δ΄. Οἱ τοῦ συμπεράσματος ὅροι, „οὐ κατὰ μείζονα τὴν ἔκτασιν ἐν αὐτῷ ἐκληπ„τέοι, ἢ ἐν ταῖς προκειμέναις.

Τουτέστι τὸν ἐν τῇ προκειμένῃ κατὰ μέρος ὅρον οὐ χρὴ καθόλου λαμβάνειν ἐν τῷ συμπεράσματι. τὸ γὰρ συμπέρασμα μόνον τὸ ἐν ταῖς προκειμέναις παρατεθὲν τῷ μέσῳ περιέχειν δύναται (708).

§ 1154. Παρατηρητέον δὲ, ὡς ἐὰν τὸ ἔλαττον ἄκρον τοῦ συμπεράσματος ἐν τῇ ἐλάττονι καθόλου ᾖ, ὅ,τι δήποτε περὶ αὐτοῦ δείκνυται, οὐδὲν μᾶλλον τούτῳ ἢ ἐκείνῳ τῶν ἐν αὐτῷ μερῶν ἀνάγεσθαι δεῖ· ἐπειδὴ δὲ ὑπόκειται ἐν τῷ συμπεράσματι, τὸ καθ᾽ οὗ ἡ κατάφασις, ἢ ἀπόφασις γίνεται, καθόλου ἄρα ἔσται κἂν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ συμπεράσματι, ϰ) τῇ καθόλȣ αὐτῷ μεταδώσει (1141).

§ 1155 „Ε΄. Ἐκ δυεῖν ἀποφασκȣσῶν ȣ̓δὲν „συμπεραίνεται.

Τὸ γὰρ μέσον ἐν ταῖς προκειμέναις ἀφ᾽ ἑκατέρȣ τῶν ἄκρων ἀποδιΐςαται. Διὸ ταῦτα ȣ̓τ᾽ ἂν συναφθεῖεν ἀλλήλοις παρὰ τȣ̃το, ȣ̓τ᾽ ἀλλήλων ἀποζευχθεῖεν.

§ 1156. „ς΄. Ἐκ δυεῖν καταφασκȣσῶν, „ἀποφατικὸν ȣ̓δὲν συμπεραίνεται.

Οὐ γὰρ οἷόντε ἀποζευχθῆναι ἀλλήλων τȣ̀ς ὅρȣς διὰ τὸ τῷ μέσῳ προσυνῆφθαι.

§ 1157. „Ζ΄. Ἀείποτε τὸ συμπέρασμα „τῷ χείρονι ἕπεται.

Χεῖρον δὲ ποιῷ μὲν ἀπόφασις, ποσῷ δὲ τὸ ἐν μέρει.

§ 1158. Οὐδέποτε καταφατικὸν εἶναι τὸ συμπέρασμα ἀποδείξειεν ἂν ὁ μέσος ὅρος, ἀφ᾽ ἑκατέρȣ τῶν ἄκρων ἀποδιϊςάμενος. Διὸ καταφήσειν ȣ̓χ οἷόντε τὸ συμπέρασμα, θατέρας τῶν προκειμένων ἀποφασκȣ́σης.

§ 1159. Ἀλλὰ ϰ) ἐπὶ μέρȣς εἶναι τὸ συμπέρασμα, ἐπὶ μερικῇ τῶν προκειμένων θατέρᾳ, δείκνυται ὧδε. Ἤτοι γὰρ ἄμφω καταφάσκȣσιν, ἢ γȣ̃ν ἡ ἑτέρα (1155)· ἀλλ᾽ εἰ μὲν τὸ Α΄. θατέρας μερικευομένης, τρεῖς ὅροι τȣ̀λάχιςον ἔσονται ἐπὶ μέρȣς, τῶν ἐν ταῖς προκειμέναις τεττάρων (1145. 1146), ϰαὶ εἰς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνον Καθόλȣ· τὸ δέτοι μέσον, ἅπαξ τȣ̀λάχιςον, καθόλȣ ληφθήσεται (1152)· ὥςε ἄμφω οἱ τȣ̃ συμπεράσματος ὅροι, κατὰ μέρος κείσονται (1153)· διὸ μερικὸν καὶ αὐτὸ ἔςαι (1153).

Εἰ δὲ τὸ Β΄., διὰ τὸ μερικὴν ὑποτίθεσθαι τῶν προκειμένων θατέραν, δύο μόνον ὅροι καθόλȣ ἔσονται ἐν αὐταῖς, εἴτε τῆς ἐν μέρει καταφασκȣ́σης, ἢ ἀποφασκȣ́σης τῆς καθόλȣ (1144. 1145), εἴτε καὶ ἀνάπαλιν (1146). ὅθεν τὸ μέσον ἅπαξ καθόλȣ κείσεται· καὶ ἐν τῷ συμπεράσματι ἄρα ὁ ἕτερος τῶν ὅρων μόνος καθόλȣ ἔςαι. τὸ δέτοι συμπέρασμα ἀποφατικὸν (1158), καὶ ἑπομένως ἐν μέρει (1144).

§ 1160. „Η΄. Ἐκ δυεῖν ἐπὶ μέρȣς τῶν προ„κειμένων ȣ̓δὲν συμπεραίνεται.

§ 1161. Ἐὰν ἄμφω καταφατικαὶ ὦσιν, ἅπαντες οἱ ὅροι ἔσονται μερικοὶ (1145). τό, τε μέσοι ȣ̓δ᾽ ἅπαξ καθόλȣ ληπτόν. Οὐκ ἄρα ὑγιὲς τὸ συμπέρασμα. (1152). Εἰδ᾽ ἄμφω ἀποφατικαὶ, ȣ̓δὲν αὖθις οἷόντε συμπεραίνεσθαι (1155). Εἰ δὲ ἡ ἑτέρα μὲν ἐν καταφάσει, ἐν ἀποφάσει δὲ θατέρα, ἕνα καὶ μόνον ἕξȣσιν ὅρον καθόλȣ (1145. 1146). ὁ δὲ ὁ μέσος ἂν εἴη (1152). ἀμφότεροι δὲ οἱ ἐν τῷ συμπεράσματι ἐπὶ μέρȣς· ὅπερ ȣ̓χ οἷόντε (1145) ἀποφάσκοντι (1157).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ συλλογιστικῶν τρόπων τε καὶ σχημάτων.

§ 1162. Τὴν δεξιὰν τῶν προτάσεων, καὶ τῶν ἐν αὐταῖς ὅρων διάθεσιν, ἐφ' ᾗ ὀρθὸν ἕπεσθαι τὸ συμπέρασμα, τὸ τοῦ συλλογισμοῦ εἶδος συνιστᾶν ἔφαμεν (708).

§ 1163, Τῷ δὲ εἴδει δύο ἐναπαιτεῖται· τρόπος, καὶ σχῆμα.

§ 1164. Καὶ ὁ μὲν τρόπος ἐν τῇ κατὰ τὸ ποσὸν καὶ ποιὸν διαθέσει τῶν προτάσεων κεῖται.

§ 1165. Τὸ δὲ σχῆμα ἐν τῇ τοῦ μέσου παραθέσει τῇ πρὸς τοὺς ὅρους τοῦ συμπεράσματος ἐπὶ τῶν προκειμένων. Ἀλλὰ πρῶτον περὶ τῶν τρόπων.

§ 1166. Πᾶσα πρότασις ἑνί τῳ τῶν ἐφεξῆς στοιχείων Α, Ε, Ι, Ο (1137) γνωρίζεται· ἐκοῦν αἱ ἐν τῷ συλλογισμῷ τρεῖς, τοῖς τρισὶν ἀντιστοιχοῦσιν, οἳ τὸν τρόπον προσδιορίζουσι· καὶ γνωριεῖ τοίνυν τὸ μὲν α'. τῶν στοιχείων τὴν μείζονα, τὸ δὲ β'. τὴν ἐλάσσονα, τὸ δὲ γ'. τὸ συμπέρασμα· οὕτως ΕΙΟ συλλογισμὸν σημαίνει, ἐν ᾧ ἀποφάσκει μὲν καθόλου ἡ μείζων, καταφάσκει δ' ἐπὶ μέρους ἡ ἐλάσσων, ἐπὶ μέρους δὲ ἀποφάσκει τὸ ἐπιφερόμενον.

§ 1167. Οὐχὶ πάντες οἱ δυνατοὶ τρόποι ἐν τῷ συλλογισμῷ χώραν ἔχουσι. τὰ μὲν γὰρ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ τῶν τεττάρων τρία ϛοιχεῖα, καθ' ἑξήκοντα καὶ τέσσαρας τρόπους ποικίλλεσθαι δύνανται. ἀλλὰ τούτων οἱ πεντήκοντα καὶ τέτταρες, διὰ τῶν ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ κανόνων ἐκσυρίττονται, δέκα μόνον ὑπολειπομένων.

Καὶ ἄλλῃ δὲ μεθόδῳ ῥᾴδιον ἀποδείκνυμεν, δέκα μόνους τῶν τρόπων εὐχρηϛεῖν, ἐπισκοποῦντες μὲν πρῶτον μόνας τὰς προκειμένας, ἐπιθεωροῦντες δὲ ἐπ' αὐταῖς τὸ συμπέρασμα.

§ 1168. Τὰ Α Ε Ι Ο, ἑκκαίδεκα μόνον παρέχονται διατάξεις τῶν προκειμένων, ὡς τῇ ἐκείνων ἐκθέσει δῆλον ἐϛί.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| ΑΑ, | ΑΕ, | ΑΙ, | ΑΟ, | ΕΑ, | ΙΑ, | ΟΑ |
| ΕΕ, | ΕΙ, | ΕΟ, | | ΙΕ, | ΟΕ, | |
| ΙΙ, | ΙΟ, | | | ΟΙ, | | |
| ΟΟ, | | | | | | |

Ἐκ τούτων ἀποβάλλομεν ΕΕ, ΕΟ, ΟΕ, ΙΙ, ΙΟ, ΟΙ, ΟΟ. (1155. 1160).

Καὶ ΙΕ δὲ ἀποπέμπεται, ὅτι, εἴη περ ἂν τὸ συμπέρασμα ἀποφατικὸν (1157), καὶ ἑπομένως τὸ μεῖζον ἄκρον καθόλου (1145), ὅπερ ὡσαύτως ὤφειλεν ἔχειν κἀπὶ τῆς μείζονος (1153), ὡς ἐπὶ τῆς Ι, οὐχ οἷόν τε (1145).

§ 1169. Αὗται τοίνυν αἱ ὀκτὼ τῶν προκειμένων ὑπολείπονται διαθέσεις.

§ 1170. ΑΑ, ΑΕ, ΑΙ, ΑΟ, ΕΑ, ΙΑ, ΟΑ, ΕΙ.

Ἐκ τῶν ΑΑ μόνον συμπεραίνειν δυνάμεθα, ἤτοι Α, ἢ Ι (1156).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ τῶν ΑΕ, ἐπιφέρειν μόνον ἐςὶν Ε (1157). Εἰ γὰρ καὶ τὸ κατὰ Ο συμπέρασμα χωρεῖ, ἐδενὸς ἀλλ᾽ ἓν τῦτο γίνεται λόγῳ ἐξὸν καθόλε, ὡς ἀεὶ ἐνταῦθα ( 1154 ). τὸ γὰρ ἔλαττον ἄκρον ἐν τῇ ἐλάσσονι, καθόλε κεῖται (1144).

Ἐκ τῶν ΑΟ, ΟΑ, ΕΙ, μόνον Ο ἐπάγειν ἐςὶ (1157). Ἐκ τῶν ΕΑ, μόνον Ε, ἢ καὶ Ο ( 1157 ).

§ 1171. Καὶ τέσδε ἄρα τὲς δυνατὲς τρόπες τῶν συλλογισμῶν ἔχομεν.

ΑΑΑ, ΑΑΙ, ΑΙΙ, ΙΑΙ, καταφατικῶς.

ΑΕΕ, ΑΟΟ, ΟΑΟ, ΕΙΟ, ΕΑΕ, ΕΑΟ, ἀποφατικῶς.

§ 1172. Ἐπὶ τῶν ἓξ ἐχάτων τὸ συμπέρασμα ἐςὶν ἀποφατικόν. Μόνοι δὲ τέτταρες εἰσὶν καταφατικοὶ, πρὸς ὓς καὶ οἱ λοιποὶ ἀνάγεσθαι δύνανται· ὅτι πᾶσα ἀπόφασις συμπίπτει τῇ καταφάσει τῦ ἐναντίε. Πολλάκις ἀλλ᾽ ἓν ἧττον ἂν κατὰ φύσιν ἔχοι ἡ τοιάδε μεταβολή.

§ 1173. Ἐπὶ τῆς τῶν συλλογισμῶν ἀνακρίσεως, προσεκτέον δὴ καὶ τῷ χήματι, ὅ πρὸς τὸ εἶδος αὐτῶν ἀνήκειν καὶ αὐτὸ εἴρηται (1165).

§ 1174. Τέτταρα δὲ μόνα χήματα δυνατὰ εἶναι, ἐκ τῆς αὐτῶν τέτων διασκέψεως δῆλον. αὐτίκα·

§ 1175. Ἐν μὲν τῷ ά. τὸ μέσον ὑπόκειται μὲν ἐν τῇ μείζονι, κατηγορεῖται δὲ ἐν τῇ ἐλάσσονι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1176. Ἐν δὲ τῷ β', κατηγορεῖται ἐν ἀμφοτέραις.

§ 1177. Ἐν δὲ τῷ γ', ἐν ἀμφοτέραις ὑπόκειται.

Ἐν τῷ δ'. τέως, κατηγορεῖται μὲν ἐν τῇ μείζονι, ὑπόκειται δὲ ἐν τῇ ἐλάσσονι. Ἔςι δὲ καὶ τῦτο σχῆμα τῶν ἄλλων διακρινόμενον, ὡς μὴ ἐπὶ τὸ α'. μόνῃ μεταθέσει τῶν προκειμένων ἐπαναγόμενον. ὐδὲ γὰρ ἀπὸ τῆς τῶν προκειμένων τάξεως τὸ σχῆμα ἤρτηται ( 699. 700 ).

§ 1178. Ἀλλὰ τόδε δὴ τὸ δ'. ἀμελεῖται, διὰ τὸ ἧττον κατὰ φύσιν ἐι αὐτῷ προβαίνειν τὰ συμπεράσματα, ὥςε πᾶν ὅ,τι δια τῦτο συνάγεται, φυσικώτερόν πως δι' ἄλλυ σχήματος, ἐκ προκειμένων τῶν αὐτῶν, ἄλλως δέπως ἐξενηνεγμένων ὑποσυνάπτεσθαι.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

## Περὶ τῦ Α'. σχήματος.

§ 1179. Ἐν τῷδε τῷ σχήματι, ἡ μὲν **Μείζων ἐςὶ Καθόλυ, ἡ δὲ Ἐλάσσων Καταφατική.**

§ 1180. Ἀποφασκέσης γὰρ τῆς ἐλάσσονος, ἡ μείζων καταφήσει (1155), καὶ τὸ ἐν αὐτῇ κατηγορέμενον, ὃ κατηγορεῖται κἀπὶ τῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμπεράσματος, ἣν ἂν ἐπὶ μέρους (1142), καὶ οὕτως ἂν ἔχοι καὶ ἐν τῷ συμπεράσματι (1155). Ἀλλ᾽ ἣν ἂν τὸ συμπέρασμα ἀποφατικὸν (1157), καὶ οὐκ ἂν ἔχοι ἐν μέρει τὸ κατηγορούμενον (1143). Ἡ ἄρα ἐλάσσων οὐκ ἂν εἴη ἀποφατική.

§ 1181. Τὸ μέσον κατηγορούμενον ἂν εἴη τῆς καταφασκούσης ἐλάσσονος· ἄρα ἐν μέρει λαμβάνοιτο ἂν (1142). Εἴη δ᾽ ἂν καθόλου ἐπὶ τῆς μείζονος (1152). Ἐν αὐτῇ δ᾽ ἂν ὑποκέοιτο (1175)· ἄρα καὶ αὕτη καθόλου ἂν εἴη (1140).

§ 1182. Ἐκ τῶν δέκα τρόπων, τῶν πρὶν διορισθέντων (1171) τέτταρες μόνον τῷδε τῷ σχήματι προσήκουσι: ΑΑΑ, ΕΑΕ, ΑΙΙ, ΕΙΟ. Οἱ δὲ λοιποὶ τούτου ἐκπίπτουσι, ΑΕ, ΙΑΙ, ΑΟΟ, καὶ ΟΑΟ, διὰ τοῦ ἀνωτέρω κανόνος (1180).

ΑΑΙ, καὶ ΕΑΟ, ὅτι ἐν τῷδε τῷ σχήματι, ἐπειδὴ τὸ ὑποκείμενον τοῦ συμπεράσματος, ὑπόκειται καὶ τῇ ἐλάσσονι (1175), ἡνίκα ἡ ἐλάσσων ἐστὶ καθόλου, ἀεὶ καὶ τὸ συμπέρασμα τηλικοῦτον ἔσται (1154).

§ 1184. Τοῦ παρόντος σχήματος οἱ τέτταρες τρόποι, διὰ τῶνδε τῶν φωνῶν ἐκδηλοῦνται:

**Γράμματα, θέασε, σανίδι, τεχνικός.**

Γραμ Ἅπαν δημιουργητὸν ἐξ ἄλλου.
μα Ἅπας ἄνθρωπος δημιουργητός·
τα Ἅπας ἄνθρωπος ἐξ ἄλλου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θε Οὐδεὶς ὧν ἔχει πλειόνων ἐφιέμενος, αὐτάρκης.
α Πᾶς Φιλάργυρος ὧν ἔχει πλειόνων ἐφίεται·
σε Οὐδεὶς ἄρα Φιλάργυρος αὐτάρκης.

Σα Πᾶν σῶμα ἀδιαχώρητον.
νι Τὶ ἐκτεταμένον σῶμα.
δι Τὶ ἐκτεταμένον ἀδιαχώρητον.

Τε Οὐδὲν αἰσχρὸν καταθύμιον.
χνι Τὶ κέρδος ἐστὶν αἰσχρόν·
κὸς Οὐ πᾶν ἄρα κέρδος καταθύμιον.

## ΚΕΦΑΛΑΙΟΝ Ε΄.

## Περὶ τοῦ Β΄. σχήματος.

§ 1185. Ἐπὶ τοῦ Β΄. ἡ Μείζων καθόλου, θατέρα δὲ τῶν προκειμένων ἀποφάσκουσα.

§ 1186. Τὸ μέσον ἐπ᾽ ἀμφοῖν κατηγορεῖται (1176). Ἅπαξ δὲ καθόλου εἶναι δεῖ (1152), οὐχ οἷόντε δὲ μὴ θατέρας ἀποφασκούσης (1142. 1143).

§ 1187. Ἀλλ᾽ ἐν τούτῳ, καὶ τὸ συμπέρασμα ἀποφήσει (1157). τοῦ δὲ τὸ κατηγορούμενον καθόλου (1145) καὶ τηλικοῦτον ἄρα κἀν τῇ μείζονι (1153). Ἐπεὶ δ᾽ ἐν αὐτῇ ὑπόκειται (1176), καθόλου ἄρα αὕτη ἔσται (1140).

§ 1188. Ἐν γοῦν τῷδε τῷ σχήματι τρόποι τέτταρες, ΕΑΕ, ΑΕΕ, ΕΙΟ, ΑΟΟ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῶν τρόπων τέτταρες καταφατικοὶ ὄντες ἀποσυρίττονται, διὰ τὸ ἐνταῦθα ἀποφατικὸν τȣ̃ συμπεράσματος (1157. 1185). ΟΑΟ τὴν μείζονα ἐκ ἔχει καθόλȣ. ΕΑΟ, δι᾽ ὃν λόγον ἐκ τȣ̃ Α΄, διὰ τὸν αὐτὸν καὶ ἐκ τȣ̃ Β΄. σχήματος ἀποκλείεται (1183).

§ 1189. Καὶ τȣ́τȣ δὲ οἱ τρόποι διὰ τῶν ἑξῆς φωνῶν ἐκδηλȣ̃νται:

**Θέναζε, θάμβενε, τένιο, γράψοδο.**

| | |
|---|---|
| Θεν | Οὐδὲν σχῆμα ἀδιαίρετον. |
| α | Πᾶσα νόησις ἀδιαίρετος |
| ζε | Οὐδεμία νόησις σχῆμα. |
| Θαμ | Πᾶν τὸ τὴν ἀνθρώπων μοχθηρίαν διεγεῖρον, ὑπαίτιον. |
| βε | Οὐδεμία ἀρετὴ ὑπαίτιος. |
| νε | Οὐδεμία ἀρετὴ τὴν ἀνθρώπων μοχθηρίαν διεγείρει. |
| Τε | Οὐδεμία ἀρετὴ τὴν ἀνθρώπων μοχθηρίαν διεγείρει. |
| νι | Ἄφαισίς τις τὴν ἀνθρώπων μοχθηρίαν διεγείρει. |
| ο | Ἄφαισίς τις ἄρα ἐκ ἔςιν ἀρετή. |
| Γρα | Πᾶσα ἀληθὴς ἐπιςήμη ἐπωφελής. |
| ψο | Πολλαὶ τῶν Φιλοσοφȣ́ντων λεπτότητες ἐπωφελεῖς. |
| δο | Ἄρα πολλαὶ τῶν Φιλοσοφȣ́ντων λεπτότητες ἐκ ἀληθὴς ἐπιςήμη. |



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

## Περὶ τῦ Γʹ. Σχήματος.

§ 1190. Ἐπὶ τῦδε ἡ μὲν ἐλάσσων καταφάσκει, τὸ δὲ συμπέρασμα ἐπὶ μέρυς.

§ 1191. Τὴν ἐλάσσονα καταφάσκειν δείκνυται ὡς ἐπὶ τῦ Αʹ. σχήματος (1181).

§ 1192. Τὸ κατηγορύμενον τῆς καταφάσεως ἔλασσον ἐςὶν ἐπὶ μέρυς (1142). τὸ δὲ ὑπόκειται ἐν τῷ συμπεράσματι (1177)· τῦτο ἄρα ἐπὶ μέρυς (1140).

§ 1193. Ἐν δὲ τῷδε οἱ τρόποι ἕξ· ΑΑΙ, ΕΑΟ, ΙΑΙ, ΑΙΙ, ΟΑΟ, ΕΙΟ. οἱ δὲ λοιποὶ τέτταρες ΑΑΑ, ΑΕΕ, ΕΑΕ, ΑΟΟ, διὰ τῦ προτέρυ κανόνος ἐκκλείονται (1190).

§ 1194. Αἱ δὲ τῶν ἐν τύτῳ τρόπων φωναί: **Σάβασι, τέτασο, σπινθαμὶν, σάρινι, γοργάδο, τέρινθο.**

Σα Πᾶς ἄνθρωπος σῶμα ἔχει.
βα Πᾶς ἄνθρωπος νοεῖ·
σι Τὶ ἄρα νοῦν ἔχει σῶμα.

Τε Οὐδεὶς ἄνθρωπος ἐςὶν ἄγγελος.
τα Πᾶς ἄνθρωπος νοεῖ·
σο Τὶ ἄρα νοῦν ἄγγελος ὐκ ἐςί.

Σπιν Τὶς φιλοκτήμων πλύσιος.
θα Πᾶς φιλοκτήμων πτωχός.
μιν Τὶς ἄρα πτωχὸς ἐςὶ πλύσιος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σα Πάντες οἱ χριστιανοὶ μαθηταὶ λέγονται Χριστοῦ.
ρι Τινὲς χριστιανοὶ εἰσὶ φιλάργυροι.
νι Τινὲς ἄρα φιλάργυροι λέγονται μαθηταὶ Χριστοῦ.

Γορ Τινὲς χριστιανοὶ οὐχ ἕπονται τῷ Χριστῷ.
γα Πάντες οἱ χριστιανοὶ μαθηταὶ λέγονται Χριστοῦ.
δο Τινὲς ἄρα μαθηταὶ λεγόμενοι Χριστοῦ, οὐχ ἕπονται Χριστῷ.

Τε Οὐδὲν διαχωρητὸν ἐστὶ σῶμα.
ριν Τὶ διαχωρητὸν ἐκτεταμένον.
θο Τὶ ἄρα ἐκτεταμένον οὐκ ἔστι σῶμα.

Τίνος δὲ χάριν τῶν σχήματων τὸ Δ΄. παρατρέχομεν, εἴρηται (1179).

## ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

## Περὶ τῆς τῶν σχημάτων παραθέσεως, καὶ περὶ τῆς ἀναγωγῆς τῶν ἐπιχειρημάτων ἐπὶ τὰ σχήματα.

§ 1195. **Μὴ** πάντα ἐπίσης τὰ σχήματα τελειότητος ἔχειν, ἅπασιν ὁμόλογον ἐστὶ. τούτων ἓν διὰ τοῦτο ἐκσυριττόμενον εἴδομεν (1179)· τῶν δὲ λοιπῶν τριῶν τὸ πρῶτον, συμφώνως οἱ πάντες τελεώτατον κρίνουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1196. Α΄. Ὅτι ὁ τῆς συνεπείας λόγος, ἄμεινον ἐν τέτῳ, ἢ ἐν τοῖς ἄλλοις καταλαμβάνεται, τῶν ὅρων ἐπίσης ἐν τῷ συμπεράσματι ἐκτασσομένων, ὡς ἐπὶ τῶν προκειμένων· τὸ γὰρ τȢ συμπεράσματος ὑποκείμενον, ὑπόκειται κἂν τῇ ἐλάσσονι, ὅπερ ἐπὶ τȢ γ΄. χήματος ȣ̓ σώζεται. τὸ δὲ κατηγορȢμενον ἐν τῷ συμπεράσματι, κατηγορεῖται τέτȣ καὶ ἐν τῇ μείζονι, ὅπερ ἐπὶ τȢ β΄. ἀθετεῖται.

§ 1197. Β΄. Ἐπὶ τȢ α΄. χήματος, συμπεραίνομεν, Α, καὶ Ε, καὶ Ι, καὶ Ο· ἐπὶ δὲ τȢ β΄. μόνον Ε καὶ Ο· ἐπὶ δὲ τȢ γ΄. μόνον Ι καὶ Ο.

§ 1198. Εἰσὶν οἳ τὸ χῆμα τόδε γενικώτερον ἐπιθεωρȢσι, λέγοντες τῷδε προσανήκειν, τȣ̀ς συλλογισμȣ̀ς ἅπαντας ἐν οἷς τὸ μέσον ἐπὶ θατέρας τῶν προκειμένων κατηγορεῖται, θατέρας ὑποκείμενον. ȣ̔́τω δέτοι τὸ δ΄. γίνεσθαι μέρος τȢ α΄. (1178)· ἀλλὰ γὰρ διαιρȢσι τȣ̀ς τȢ α΄. χήματος τρόπȣς, εἰς τȣ̀ς μὲν **καταλλήλȣς**, τȣ̀ς δ᾽ **ἀκαταλλήλȣς**. καὶ **κατάλληλοι** μὲν οἱ ἀνωτέρω (1184)· **ἀκαταλλήλȣς** δὲ τȣ̀ς κοινῇ, καλȢσιν, ἐπὶ τὸ δ΄. χῆμα ἀναγομένȣς, ὧν ἠμελήσαμεν.

§ 1199. Ἡ δὲ ἀναγωγὴ τȢ προτεθέντος ἐπιχειρήματος, ἐπὶ χῆματε, καὶ τρόπον τὸν αὐτȢ, ἔχει τινὰ ἐνίοτε δυχέρειαν. Πρὸ πάντων ἀλλ᾽ ȣ̓̃ν ἀναγκαῖον, τὸ ἐπιχείρημα, εἰς τρόπον ὡρισμένον, ἐν χήματι ὡρισμένῳ ἀνάγειν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βȣλομένȣς, περὶ τῆς τȣ͂ ἐπιχειρήματος ὀρθότητος, διὰ τῶν πρὸ μικρȣ͂ παραδοθέντων κανόνων κρίνειν.

§ 1200. Ἵνα δὲ ἐκ μέσȣ ἀρθῇ ἡ δυσχέρεια, διακρίνειν δέον πρῶτον τȣ̀ς ὅρȣς. οἷον·

„Τὸ τῶν πλανητῶν φῶς ȣ̓κ ἔςιν αὐτοῖς ἴδιον.
„Ὁ Κρόνος ἐςὶ πλανήτης.
„Τὸ ἄρα τȣ͂ Κρόνȣ φῶς ȣ̓κ ἔςιν αὐτῷ ἴδιον.

§ 1201. Προσέχȣσιν ȣ̓ν τῷ συμπεράσματι, τὸ τȣ́τȣ ὑποκείμενον, τὸ Φῶς τȣ͂ Κρόνȣ εἶναι δοκεῖ, τὸ δὲ κατηγορȣ́μενον, ὃ τȣ͂ ὑποκειμένȣ ἀποφάσκεται, τὸ αὐτῷ ἴδιον.

§ 1202. Τὰς μέντοι προκειμένας διασκεπτομένοις, ταῦτ' ȣ̓χ ȣ̔́τως ἔχειν δοκεῖ. ἐπὶ τῆς ἐλάσσονος δῆλον, ὡς ὁ Κρόνος, μόνον ἐςὶ τὸ ἐν τῷ συμπεράσματι ὑποκείμενον· τὸ δὲ λοιπὸν τȣ͂ συμπεράσματος, τὸ ἐν αὐτῷ τυγχάνει μεῖζον ἄκρον· ταύτῃ τοι πρὸς ἐκφυγὴν τῆς συγχύσεως, ἄλλως τὸ ἐπιχείρημα ἐξενεκτέον.

§ 1203. „Οἱ πλάνητες ȣ̓ λάμπȣσιν ἰδίῳ φωτί.
„Ὁ Κρόνος πλανήτης ἐςί.
„Ὁ ἄρα Κρόνος ȣ̓ λάμπει ἰδίῳ φωτί.

Τὸ Ἐπιχείρημα ἐςὶν ἐπὶ τȣ͂ Θέασε, ὅτι αἱ καθ' ἕκαςα τῶν προτάσεων ἐπὶ τὰς καθόλȣ ἀναγόμεναι εἰσὶ (417).

§ 1204. Καὶ ἄλλη τις περὶ τȣ̀ς ὅρȣς δυσχέρεια δύναιτ' ἂν εἶναι. ἐνίοτε γὰρ τὸ κατη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γορέμενον ἔτως ἐκφέρεται, ὡς εἴπερ ἦν ὑποκείμενον. Ἐκ ποδὼν δὲ γίνεται ἡ σύγχυσις αὕτη ἐὰν ἐννοήσωμεν ὅτι τὸ τῆς καταφασκέσης κατηγορέμενον, ἐδέποτε καθόλε ἐςὶ (1142)· ἢ ὅτι τὸ τῆς ἀποφασκέσης, ἐδέποτε ἐπὶ μέρες. (1143) **Νόμος ἐνήνεκται κατὰ τῶν κλεπτῶν.** Τὸ τῆσδε τῆς προτάσεως ὑποκείμενον ἐςὶν, **οἱ κλέπται.**

§ 1205. Δεύτερον διασκεπτέον, εἰ ἐν τῇ δεέσῃ τάξει αἱ προτάσεις ἐκκείμεναι εἰσὶ· τετέςιν εἰ προτερεύει μὲν ἡ μείζων, ἔσχατον δὲ πάντων κεῖται τὸ συμπέρασμα (1166).

§ 1206. Τελευταῖον τίνι τῶν γραμμάτων Α, Ε, Ι, Ο ἑκάςῃ τῶν προτάσεων ἀντιςοιχεῖ διοριςέον. ὅπερ ἀσαφὲς ἐνίοτε. Ἀλλ᾽ οἱ προσέχοντες τοῖς ἐφεξῆς, τὴν δυσκολίαν ἐκ μέσε ποιῆσαι δυνήσονται.

§ 1207. Α'. Ἡ πρότασις ἧς ἄμφω οἱ ὅροι καθόλε εἰσὶν, ἀποφάσκει (1144). Οἷον· **μόνον τὸ σῶμα ἐκτεταμένον ἐςὶ**, σημαίνει, ὅτι **παρ᾽ ἐκτὸς τε σώματος ἐδὲν ἐςὶν ἐκτεταμένον.**

§ 1208. Β'. Ἡ πρότασις, ἧς ἄμφω οἱ ὅροι ἐπὶ μέρες εἰσὶ, καταφάσκει (1145). οἷον **ὀλίγοι τῶν ἀνθρώπων ἐκ εἰσὶν ὑπερήφανοι.** σημαίνει· ὅτι τῶν ἀνθρώπων πολλοὶ ὑπερήφανοι εἰσί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§ 1209. Γ΄. Ὅτι ἡ ἀπόκλεισις, ἐςὶν ἀντ' ἀποφάσεως. οἷον· ὀλίγοι εἰσὶ χρηςοί. σημαίνει, πολλὲς εἶναι τὲς μὴ χρηςὲς τυγχάνοντας.

§ 1210. Δ΄. Ἡ ἐν τῇ προτάσει ἀπόφασίς τε καὶ κατάφασις ἤρτηται τὰ πολλὰ ἀπὸ τῦ διορισμῦ τῦ κατηγορεμένε. Ἐὰν γὰρ τὸ κατηγορέμενον ᾖ ἀποφατικὸν, ἡ καταφάσκεσα ἀποφασκέσης εἶδος ἀμπίσχεται. οἷον· ὁ λίθος ἐκ αἰσθάνεται. Ἐὰν γὰρ τὸ αἰσθάνεται κατηγορῆται, ἡ πρότασις ἐςὶν ἀποφάσκεσα, τῦτο γὰρ αὐτῆς ἔςαι τὸ τῦ ὑποκειμένε ἀπαγόμενον· ἐὰν δὲ κατηγορῆται τὸ ἐκ αἰσθάνεται. τῦτο δ' ἂν ἄλλως εἴποιμεν τὸ ἀναισθητεῖν, ἡ πρότασις καταφήσει. τῦτο γὰρ ἐπ' αὐτῆς τὸ κατὰ τῦ ὑποκειμένε λεγόμενον.

§ 1211. Ἐν ταῖς τῦ ἐπιχειρήματος προκειμέναις, διακρινομένων τῶν τῦ συμπεράσματος ὅρων (1200), διορίζεται τὸ μέσον· καὶ τότε δὴ περὶ τὸν τῶν κατηγορεμένων διορισμὸν ἐδεμία ἂν ὑπολειφθείη δυσχέρεια.

§ 1212. Παραδειγ: „Τὸ μὴ αἰσθανόμενον ἐ „νοεῖ.

„Ὁ λίθος ἐκ αἰσθάνεται· ἄρα ὁ λίθος ἐ νοεῖ.

§ 1213. Ἐπὶ τὸ Α΄. τῶν χημάτων ἀνήκει τόδε τὸ ἐπιχείρημα (1175), ἀποβλητέον δὲ εἶναι δοκεῖ διὰ τὴν ἀπόφασιν τῆς ἐλάσσονος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(1180)· καὶ δὴ, καὶ διὰ τὰς προκειμένας ἀμφοτέρας δοκεῖν ἀποφατικὰς (1155). πλὴν διορισθέντων τῶν ὅρων, δῆλον, ὅτι μέσον ἐστὶ τὸ **οὐκ αἰσθάνεται**· καὶ τοῦτο ἄρα κατηγορούμενον ὂν τῆς ἐλάσσονος (1175) αὕτη ἐστὶ καταφατικὴ (1210).

§ 1214. „Μόνη ἡ ἀρετὴ ἐπαινετέα.
„Ἡ θρασύτης οὐκ ἔστιν ἀρετή· ἡ ἄρα θρα-
„σύτης οὐκ ἐπαινετέα.

§ 1215. Αὖθις τὸ σχῆμα Α΄. ἐστὶ, καὶ τὸ ἐπιχείρημα, διὰ τὴν ἀπόφασιν τῆς ἐλάσσονος ἐκσυρικτέον δοκεῖ (1180). ἀλλὰ γὰρ ἡ μείζων οὐκ ἔστι καταφατικὴ (1207) καὶ οὕτως ἂν εἴη ἐξενεκτέα· **Παρ' ἐκτὸς τῆς ἀρετῆς οὐδὲν ἐστὶν ἐπαινετέον.** τηνικαῦτα γὰρ ἡ ἐλάσσων ἐστὶν, **ἡ θρασύτης ἐκτὸς τῆς ἀρετῆς ἐστὶ.** καὶ ἔστι καταφατική.

## ΚΕΦΑΛΑΙΟΝ Η΄.

## Περὶ συλλογισμῶν ὑποθετικῶν τε καὶ διαζευκτικῶν.

§ 1216. Ἑπτὰ, παρὰ τὸν τέλεον συλλογισμὸν, εἴδη ἕτερα φέρονται ἐπιχειρημάτων· καλοῦνται δὲ συλλογισμοὶ ἀτελεῖς· καὶ εἰσὶν ὁ **Ὑποθετικὸς συλλογισμὸς· ὁ Δια-**

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζευκτικὸς, τὸ Ἐνθύμημα, τὸ Δίλημμα, ἡ Ἐπαγωγὴ, τὸ Παράδειγμα, ὁ Σωρείτης. περὶ μὲν ὖν τῶν προτέρων δύο ἐπὶ τῦ παροντος πραγματεύσομαι κεφαλαίυ, περὶ δὲ τῶν λοιπῶν ἐν τῷ ἑφεξῆς.

§ 1217. „Συλλογισμὸς ὑποθετικὸς ἐςὶ, „ὅπερ ὑποθετικὴ μὲν ἡ μείζων, ὁλοσχερὲς δὲ „τὸ συμπέρασμα περιέχυσα.

§ 1218. Παραδειγ. „Εἰ Κομφυτιανοὶ οἱ Σῆρες, ἄπιςοι.

„Εἰσὶ δὲ Κομφυτιανοί· ἄπιςοι ἄρα.

§ 1219. „Εἰ σωματικὸς ὁ Νῦς, ἔςι τὶ Νοῦν „ἐκτεταμένον.

„Οὐκ ἔςι δέ τι Νοῦν ἐκτεταμένον. ἄρα ὁ Νῦς „ὐκ ἔςι σωματικός.

§ 1220. Ο Κανὼν ὃν τηρεῖν δέον ἐν τοῖσδε τοῖς συλλογισμοῖς, ὗτος ἐςί· τεθέντος τῦ ἡγυμένυ, τίθεται τὸ ἑπόμενον. ἀναιρεθέντος τῦ ἑπομένυ, ἀναιρεῖται τὸ ἡγύμενον.

§ 1221. Τὸ τιθέναι ἐπὶ τῶν τοιύτων σώζειν ἐςὶ. Διὸ ἐὰν τὸ ἡγύμενον, ἢ τὸ ἑπόμενον, ἀποφατικὸν ᾖ, ἐν ᾧ τίθεται, ἡ ἀπόφασις σώζεται· ἀναιρεῖται δὲ αὐτη, τῦ ἀποφατικῦ ὅρυ ἀποφασκομένυ.

§ 1222. „Εἰ τ᾿ ἄτομον ἀδιαίρετον, ὐκ ἔςιν ἐκτεταμένον.

Φ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„Ἀλλ᾽ ἐςιν ἐκτεταμένον. ἐκ ἄρα ἀδιαίρετον.

Ἢ ἔλασσον κυρίως ἐςὶν. Ἀλλ᾽ ἐκ ἐςὶν ἐκ ἐκτεταμένον.

§ 1223. Φυλακτέον ἐπὶ τῶν τοιέτων ἐπιχειρημάτων, μὴ τἔ ἡγεμένε ἀποφασκομένε, ἀποφάσκοιτο τὸ ἑπόμενον. ἢ τἔ ἑπομένε τιθεμένε, τὸ ἡγέμενον τιθοῖτο.

§ 1224. „Ὁ συλλογισμὸς ὁ Διαζευκτικὸς „ἐςὶν ἕ ἡ μείζων ἐςὶ διαζευκτική. τετέςιν εἰς „δύο, ἢ πλείονα μέλη διαιρεμένη.

§ 1225. Τὸ συμπέρασμα τᾦδε τῷ νόμῳ ὑπάγεται· τῇ ἀποφάσει τῶν μελῶν ἁπάντων, πλὴν ἑνὸς, αὐτὸ τἔτο καταφάσκεται. ἢ τῇ ἑνὸς καταφάσει τὰ λοιπὰ ἀποφάσκεται.

§ 1226. „Παραδειγ. Ἤ τι ἔαρ ἐςὶν, ἢ θέ„ρος, ἢ μετόπωρον, ἢ χειμὼν.

„Ἀλλ᾽ ἔτ᾽ ἔαρ, ἔτε θέρος, ἔτε μετόπωρον. „χειμὼν ἄρα.

Ἢ „Ἀλλ᾽ ἐςι χειμὼν· „Οὔτ᾽ ἔαρ ἄρα, ἔτε „θέρος, ἔτε μετόπωρον.

§ 1227. Οὐκ ὀρθῶς χωρεῖ τὸ ἐπιχείρημα τόδε ἐπειδὰν ἡ ἐπὶ τῆς μείζονος διαίρεσις ἐςὶν ἀτελής· ἑνὸς γάρ τινος τῶν μερῶν ἐλλείποντος, τὸ συμπέρασμα ἐδὲν ὑγιειές.

Ἡ τἔ λεγομένε ἀλήθεια ἐπὶ τῆς ἐλάσσονος ἀναγκαία μὲν ἐςὶν, ἐπὶ μέν τοι τὸ ἐπιχείρημα ἐδὲν ἀνήκεσα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Θ΄.

## Περὶ τῶν λοιπῶν ἀτελῶν συλλογισμῶν.

§ 1228. Τὴν τῶν τοιέτων συλλογισμῶν ἐπαρίθμησιν ἀνωτέρω ἀποδεδωκότες ἐσμὲν (1216).

§ 1229. Ἐνθύμημα ἐςὶ **συλλογισμὸς κολωβὸς**. περὶ τέτε ὅρα ἀνωτέρω (706. 707).

§ 1230. Δίλημμα ἐςὶν ἐπιχείρημα ἐν ᾧ, **διαιρεθέντος τῶ ὅλε εἰς δύο μέρη, τέτων ἑκάτερον ἀποβάλλεται ἵνα κἀκεῖνο ἀποβληθῇ.**

§ 1231. Παράδειγ. „Τὸ περὶ πάντων ἀμ„φισβητεῖν, ἤτοι ἀληθὲς, ἢ ψευδὲς. Εἰ μὲν „ἀληθὲς, περὶ αὐτῶ τέτε ἐδαμῶς ἀμφισβη„τητέον· εἰ δὲ ψευδὲς, περὶ πάντων ἐκ ἀμ„φισβητητέον.

„Τὸ ἄρα περὶ πάντων ἀμφισβητεῖν ἄτοπον.

§ 1232. Ἵνα τὸ δίλημμα χωρῇ, δέον παρὰ τὰ δύο μέρη τρίτον μὴ εἶναι. Καὶ ἕκαςον δὲ, δι' ἰσχυρόν τινα λόγον ἀποβάλλεται. τὸ ἐφεξῆς γνωριμώτατον παράδειγμα κατ' ἄμφω χωλαίνει. „Εἰ γαμητέον, ἤτοι καλὴν, ἢ δυσειδῆ. Ἀλλ' εἰ „μὲν καλὴν, ἕξεις κοινήν· εἰ δὲ μὴ, ἕξεις ποινήν· „ἐκ ἄρα γαμητέον.

§ 1233. Τὸ ἐλλειπὲς Δίλημμα, ἀντιςρέφειν δύναται, ὥσπερ τόδε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„Ἐὰν καλῶς τὰ κοινὰ διοικήσῃς, προσκ-
„ρύσεις τοῖς ἀνθρώποις. Εἰ δὲ κακῶς, τῷ Θεῷ.
„Οὐκ ἄρα τὰ κοινὰ διοικητέον.

Ἐπαναστραφείη ἂν τὸ ἐπιχείρημα ὧδε·
„Εἰ μὲν καλῶς, εὐδοκιμήσεις παρὰ τῷ Θεῷ:
„Εἰ δὲ κακῶς παρὰ τοῖς ἀνθρώποις. Δι-
„οικητέον ἄρα.

§ 1234. Ἐπαγωγὴ ἐστὶν ἐπιχείρημα, ἐν ᾧ περὶ τοῦ ὅλου συμπεραίνεται, τὸ περὶ ἑκάστου τῶν μερῶν ἀποδειχθέν. τὸ οὖν συμπέρασμα ὀρθοῖς χωρεῖν εὔδηλον, εἰ μηδὲν μέρος ἀπολήποιτο. μὴ ὀρθῶς δὲ, κἂν ἕντι καὶ μόνον.

§ 1235. Παράδειγμα ἐστὶν ἐπαγωγὴ ἀτελὴς, ἐν ᾗ δι᾽ ἑνὸς τῶν ἐπὶ μέρους, ἐπιφέρεται καθόλου.

§ 1236. Πρὸς διασάφησιν, οὐ πρὸς ἀπόδειξιν τὸ ἐπιχείρημα τόδε εὐχρηστήσειε.

§ 1237. Σωρείτης ἐστὶν ἐπιχείρημα ἐκ διαφόρων προτάσεων συνεστηκὸς οὕτω διατεταγμένων, ὡς τῆς ἡγουμένης τὸ κατηγορούμενον, ὑποκείμενον γίνεσθαι τῆς ἑπομένης.

Περὶ τούτου πρότερον ἤδη διείληπται (727. κξ).

ΤΕΛΟΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΑΡΟΡΑΜΑΤΑ.

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 4. | 9. | Περιφερείας Γραφ: | Περιφερείας σημεῖα |
| | 25. | τιθεμένων | τιθεμένοις |
| 10. | 20. | παρατηρηθείσεται | παρατηρηθήσεται |
| 5. | 23. | πραγμάτων | πραγμάτων ὕπαρξιν |
| 11. | 11. | συγκαταχθεῖν | συγκαταχθεῖεν |
| 13. | 16. | συνεξίρει | συνεξαρεῖ. |
| | 17. | πάντα | πάντη |
| 15. | 1. | παραιτέρω | περαιτέρω |
| 23. | 8. | ἐκγαινίζεσθαι | ἐγκαινίζεσθαι |
| — | 15. | ἐπ' | ἐπὶ |
| 25. | 23. | ςήμονες | ςήμονας |
| 26. | 18. | ἕτως | ὕτως |
| 27. | 23. | μόνος | μόνον |
| 28. | 22. | ἀποκαλέσομαι | ἀποκαλέσομεν. |
| 29. | 26. | ἕτοι | ὕτοι |
| 37. | 2. | ἀνυπάρξεως | ἀνυπαρξίας |
| 42. | 6. | ἑαυτῷ | ἑαυτοῖς |
| 45. | 24. | ἑαυτον | ἑαυτῶν |
| — | 26. | ὅ,τι | ὅτι |
| 46. | 15. | Τὸν Σπινόζαν δὲ εἰσαγαγὼν, πολλαχόθεν τῶν ἐκείνου. | Σπινόζας δὲ εἰσαγαγεῖν πολλαχόθεν τῶν αὐτοῦ. |
| — | 18. | ὁ διερμηνεύων | ᾧ διερμηνεύων |
| 47. | 7. | ἐνδιδάσκει | ἐκδιδάσκει |
| — | 8. | ταύτης | τοιαύτης, |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Παροράματα.

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 47. | 17. | διακάμπτον | ἐπικάμπτον |
| 48. | 1. | ἴσμεν | ἴσμεν |
| — | 7. | ἀπηλαγμέναι | ἀπηλλαγμέναι |
| | 11. | εἴδους | εἴδους |
| | 24. | διαπονεῖτε | διαπονεῖται |
| 49. | 8. | οὐδέτοτε | οὐδέποτε |
| 52. | 1. | αἱρεῖ | αἱρῇ |
| 53. | 15. | ἀπαλάττειν· | ἀπαλλάττειν |
| 54. | 2. | ουπερ | οὗπερ |
| 55. | 30. | τῷ αὐτῷ | τὸ αὐτῷ |
| 57. | 14. | ἥς | ἧς |
| 60. | 28. | φύσειε | φήσειε |
| 71. | 12. | κινῆται | κινεῖται |
| — | 27. | τῇ τοῦ ἀέρος κινήσει, | τῇ τοῦ ἀέρος ῥιπῇ |
| 72. | 5. | ἐπενεργεῖ ἡ κινήσις | ἐπενεργῇ ἡ κίνησις |
| 74. | 2. | ἀπ᾽ ἀκριβὲς | ἐπ᾽ ἀκριβὲς |
| 75. | 2. | διατελεῖν ἀδιάλειπτον | διατελεῖν φησὶν ἀδιάλειπτον |
| 78. | 25. | τω | οὕτω |
| 80. | 21. | παραγαγὴν | παραγαγεῖν |
| 81. | 3. | ὥς τὴν | ὃ τὴν |
| — | 11. | ὑπάρξεως τυγχάνει | ὑπάρξεως ἐπιτυγχάνει. |
| — | 14. | κἀνείνως | κἀκείνως |
| — | 18. | εἰ ἐκείνων, | οὕτως ἢ ἐκείνως |
| — | 20. | προβάλεσθαι | προβάλεται |
| — | 22. | κομίζεται | πορίζεται |
| — | 29. | ἀνθυπαρξίας | αὐθυπαρξίας |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Παροραματα.

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 82. | 2. | καθαπερ περὶ | καθὰ περὶ |
| — | 9. | ἑκάςȣ | ἑκάςȣς |
| 83. | 20. | εἰσαγαγεῖν | εἰσαγαγέσθαι |
| | 85. | Κεφ. Θ | Κεφ. ΙΘ |
| 86. | 1. | τάξις | τάξεις |
| 87. | 26. | πολλαὶ τὰς | πολλοὶ τὰς |
| 88. | 4. | ἐμφύτȣς τῶν ἰδεῶν ἥντινες | ἐμφύτȣς ἥντινες |
| 89. | 28. | παρεχηκιτα | παρωχηκότα |
| 90. | 12. | ἐκάλεσε | ἀπεκάλεσε |
| 91. | 24. | συγχωρεῖ | ἐγχωρεῖ |
| 92. | 6. | τȣ̃τον | τȣ́τȣ |
| | 19. | καταριθμῆ | καταριθμεῖ |
| 93. | 25. | ἔχε | ἔχειν |
| 94. | 5. | ἀνατιθέμενοι | ἀνατιθέμενον |
| 97. | 23. | συμβαίνοι | συμβαίνει |
| 98. | 17. | διαφωνῶν | διὰ φωνῶν |
| | 18. | μεταδιδόναι ταύτας ȣ̓χ οἷόντε, | μεταδιδόναι ȣ̓χ᾽ οἷόντε |
| 105. | 17. | περὶ ἧς | περὶ ἣν |
| | 18. | κινήματα διεζητήθη | ζητήματα διεκινήθη. |
| 109. | 16. | ἀοριςαίναι | ἀοριςένει. |
| 112. | 17. | κατάςασις τις ἐςὶ | καταςάσεις εἰσὶ τινὲς |
| 113. | 1. | καθωρόμενον | καθορώμενον |
| 114. | 2. | ȣ̓δεμία | ȣ̓δεμιᾷ |
| — | 22. | φύσιν ȣ̓κ ἔχει, | φύσιν ȣ̓κ ἔςιν |
| 115. | 5. | διΐςησι | διϊςὰς |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Παροράματα

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 116. | 5. | βαδίζον | βαδίζων |
| 123. | 18. | παρανεχθὲν | παρενεχθὲν |
| 128. | 21. | ἂν | ὢν |
| — | 3. | συνιδὼς | συνειδὼς |
| 129. | 3. | περὶ μόνον | περὶ ὃ μόνον |
| — | 4. | ἀπάτῆ | ἀπάτη |
| — | 17. | αὐτῆς | αὑτῆς |
| 132. | 2. | εἰ τὰς | εἴ τις τὰς |
| 133. | 5. | ἐνεργείας | ἐναργείας |
| — | 6. | ὁμονύμως | ὁμωνύμως |
| 137. | 13. | διαστεῖλλαι | διαστεῖλαι |
| — | 22. | ἀντιθεωρητέον | ἀναθεωρητέον |
| 142. | 13. | ὑγειως ἔχοντος | ὑγειῶς ἐμοὶ ἔχοντος |
| 148. | 23. | ἐν τῶν | ἐκ τῶν |
| 153. | 9. | διαφέρειν | διαφέρει |
| 156. | 4. | τὰ λέγοντα | τὸν λέγοντα |
| — | 7. | ἐπὶ τοῖς | ἐπὶ γὰρ τοῖς |
| — | 27. | ἑκάστης περιστάσεων | ἑκάστης τῶν περιστάσεων |
| 161. | 3. | διαχωρηστέον | διαχωριστέον |
| — | 21. | ὑποκείμεσθαι | ὑποκεῖσθαι |
| — | 23. | οὐδεμίαν . . . ὑπόνοιαν | οὐδεμία . . . ὑπόνοια |
| 162. | 3. | συνεπιπλεγμένων | συνεπιπλεγμένων |
| — | 6. | πολλάκις ἔχατον | πολλάκις δὲ ἔχατον |
| — | 24. | ἕπεται | ἕσπεται |
| 164. | 15. | ὁμοτελοῦς | ὁλοτελοῦς |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Παροράματα.

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 169. | 3. | ἀὲ | ἀεὶ |
| — | 22. | ἀλώλοντο | ἀπώλοντο |
| 172. | 27. | ἑωρακὸς | ἑωρακὼς |
| 176. | 23. | τὸν δὲ | τοῦ δὲ |
| 186. | 2. | ἐκράτησαν | ἐκράτησεν |
| — | 3. | φθάσας | φθάσας τις |
| 188. | 5. | κατωχυρώμενον | κατωχυρωμένως |
| 190. | 16. | τῆς κανόσι | τοῖς κανόσι |
| — | 21. | καίνη τις | καινή τις |
| 195. | 9. | ἐν τῷ μέρει | ἐν μέρει |
| 196. | 10. | περιέχον | περιέχων |
| 197. | 3. | ὁ μὴ | ὃ μὴ |
| 198. | 15. | ἢ ψευδὲς | ἢ ψευδὴς |
| 200. | 25. | γένοιτο | γένηται |
| 205. | 12. | τὸ τῆς | τὰ τῆς |
| 206. | 12. | ὁ ἀγνωῶν | ὁ ἀγνοῶν |
| — | 12. | οἷοιτε τὴν | οἷοιτε εἰσὶ τὴν |
| 209. | 25. | δὴ σπανίως ἀπὸ τῶν | δὴ ἀπὸ τῶν |
| 210. | 6. | χορῶν | χωρῶν |
| 211. | 8. | ἐπιβλαβὲς τὰ | ἐπιβλαβὲς γὰρ τὰ |
| — | 27. | ἐπάναγκες αὐτῷ | ἐπάναγκες δὲ αὐτῷ |
| 212. | 15. | ἐν διαφέρουσι | ἐν διαφέρουσι καιροῖς |
| — | 16. | διαφοράν, | διαφορὰν συμβαινουσῶν |
| 213. | 9. | θορυβουμένη | θορυβουμένη |
| — | 23. | ἀποφηιάμενοι | ἀποφηνάμενοι |
| 215. | 1. | ἀλαζονίας | ἀλαζονείας |
| 217. | 9. | ἔστω | ἔσται |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Παροράματα.

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 218. | 17. | κρατῦσι | κρατῦντες |
| 219. | 2. | ἀτελ | ἀτελεῖς |
| 222. | 17. | διαφορὰ αὕτη | διαφορὰ αὕτη; |
| | 25. | μαθηματικῆς | μαθηματικοῖς. |
| 226. | 22. | ἰσχυρώτεροι | ἰσχυρότεροι |
| 227. | 14. | προσείχομεν | προσέχοιμεν |
| | 18. | ὅτι τὸ | ὅτι τῷ |
| 228. | 12. | ἕλεσθαι | ἑλέσθαι. |
| | 17. | δοκῦσαν | δοκῦσαν' |
| 229. | 13. | καθ' ὧν | καθ' ὅν |
| 238. | 28. | κατατίθεσθαι | συγκατατίθεσθαι |
| 239. | 20. | ὃ ταύτας | ὅτι ταύτας |
| 240. | 7. | τὸ περὶ | τῷ περὶ |
| 241. | 21. | ἐπιμελείσθω | ἀξιῦτω. |
| — | 28. | τῦτῳ δὲ | ὗτω δὲ |
| — | 29. | τὸ τὴν | τὴν |
| 242. | 9. | τάξει | ἐν τάξει |
| — | 21. | ἀληθῆ | ἀληθεῖ |
| 244. | 1. | τοιαύτη | τοιῦτον |
| — | 11. | τὸ πλείοσιν | πλείοσιν |
| 247. | 24. | ἂν ἄμεινον | ἄντις ἄμεινον |
| 255. | 16. | ἀμειῦται | ἀπομειῦται |
| 256. | 17. | Βρηττανίαν | Βρεττανίαν |
| 257. | 17. | δυνήσονται | δυνήσωνται |
| 259. | 6. | ἐλαςικῆς | ἐλαςικῆς |
| 261. | 13. | ὠτός κοίλωμα | ὠτὸς κοιλώματος. |
| 262. | 9. | ἀποπειρόμενον | ἀποπειράμενοι |
| 265. | 8. | καθ' ὗν | καθ' ὗς |
| — | 19. | ἀμφώτιδας | ἀμφωτίδας |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Παροράματα.

| Σελ. | Στιχ. | | |
|---|---|---|---|
| 265. | — | ἑκατέροθεν | ἑκατέρωθεν |
| 268. | 6. | ȣ̓ρανῶν ὕϛε-ρον | ȣ̓ρανῶν ἑρμηνεύȣσα ὕ-ϛερον. |
| 270. | 13. | ἀπόπειρον | ἀπόπειραν |
| — | 24. | ἐλάχιϛοι | ἐλάχιϛαι |
| 269. | 17. | διανεξεις | διενέξεις |
| 271. | 9. | μνήμη | μνήμῃ |
| 272. | 15. | συνεχέϛερον | τὰ συνεχέϛερον |
| 276. | 12. | ζητῶ ἔτι | ζητῶ εἴτι |
| 278. | 16. | ἐκεῖσαι | ἐκεῖσȣ |
| 282. | 10. | ἦτα | ἢ τὰ |
| | | Κεφ. ΛΖ | Κεφ. Λϛ. |
| 284. | 2. | ȣ̓̃τως γὰρ | ȣ̓̃τος γαρ |
| 286. | 10. | κριπήζονται | κρηπίζονται |
| 288. | 4, 10. | μέρει | μέρη |
| | 21. | ὑποτίθεισι | ὑποτιθησι |
| 189. | 1. | διαιτήσαιμην | διαιτησαίμην |
| 294. | | Κεφ. ΚΖ. | Κεφ. ΛΖ |
| | | μεθόδȣ τȣ̃ | μεθόδȣ τῆς τȣ̃ |
| 295. | 17. | δεῖ καὶ | δεῖ δὲ καὶ |
| | 28. | ὕπεϛι | εἴπερ ὕπεϛι |
| 299. | 23. | ἀποσυμβα-λίζειν | ἀποσκυβαλίζειν |
| 302. | 15. | κατὰ μέρȣς | ἐπὶ μέρȣς |
| 313. | 20, 22. | ἄφαισις | ἄφεσις |
| | 25. | ἐπωφελεῖς | ȣ̓κ ἐπωφελεῖς |
| 314. | 8. | ἐλάσσον ἐϛὶ | τῆς ἐλάσσονος ἐϛί |
| 322. | 2. | ἡ ἐλάσσον | ἢ ἐλάσσων |
| | 16. | ἦτι | ἤτοι |
| 324. | 12. | ὑπολήποιτο | ὑπολείποιτο. |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ
ΚΙΝΗΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ΗΜΕΡΟΜΗΝΙΑ ΕΠΙΣΤΡΟΦΗΣ

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ & ΕΠΙΣΤΗΜΩΝ * ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ * ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

No 3

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

100

ΓΡ Γραβεζάνδος, Γ. Ι. Σ.

ΕΙΣΑΓΩΓΗ ΕΙΣ ΤΗΝ ΦΙΛΟΣΟΦΙΑΝ

ἀριθ. χρ. 695

| Ἡμερομηνία ἐπιστροφῆς | ΟΝΟΜΑΤΕΠΩΝΥΜΟΝ |
| --- | --- |
| | |
| | |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας